UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1873

10. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2520

Visual Library

μὴ ὄφελες λίϲϲεϲθαι ἀμύμονα Πηλείωνα,
μυρία δῶρα διδούϲ· ὃ δ' ἀγήνωρ ἐϲτὶ καὶ ἄλλωϲ·
νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃϲιν ἐνῆκαϲ.
ἀλλ' ἢ τοι κεῖνον μὲν ἐάϲομεν, ἤ κεν ἴῃϲιν,
ἤ κε μένῃ· τότε δ' αὖτε μαχήϲεται, ὁππότε κέν μιν
θυμὸϲ ἐνὶ ϲτήθεϲϲιν ἀνώγῃ καὶ θεὸϲ ὄρϲῃ.
ἀλλ' ἄγεθ', ὡϲ ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντεϲ·
νῦν μὲν κοιμήϲαϲθε τεταρπόμενοι φίλον ἦτορ
ϲίτου καὶ οἴνοιο· τὸ γὰρ μένοϲ ἐϲτὶ καὶ ἀλκή·
αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλοϲ ἠώϲ,
καρπαλίμωϲ πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππουϲ
ὀτρύνων, καὶ δ' αὐτὸϲ ἐνὶ πρώτοιϲι μάχεϲθαι.
ὣϲ ἔφαθ', οἳ δ' ἄρα πάντεϲ ἐπήνηϲαν βαϲιλῆεϲ,
μῦθον ἀγαϲϲάμενοι Διομήδεοϲ ἱπποδάμοιο.
καὶ τότε δὴ ϲπείϲαντεϲ ἔβαν κλιϲίην δὲ ἕκαϲτοϲ,
ἔνθα δὲ κοιμήϲαντο καὶ ὕπνου δῶρον ἕλοντο.

---

## ΙΛΙΑΔΟϹ Κ.

Ἄλλοι μὲν παρὰ νηυϲὶν ἀριϲτῆεϲ Παναχαιῶν
εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·

---

V. l. 698 μὴ ὄφελεϲ AEHLS Schol. Aristoph. Nub. 41. Schol. Eurip. Med. 1. Et. Mg. 586, 18. Et. Gud. 390, 18. Zonar. Lex. 1490. Schol. I 63, Π 25, 74, 76. Apoll. Lex. 7, 17. Cram. An. Ox. II, 431, 5. μὴ ὤφελεϲ D Eust. 1046, 17. μὴ δ' ὄφελεϲ C. μηδ' ὄφελεϲ G. ἀμύμονα Πηλείωνα: ἀμύμονοϲ Αἰακίδαο Schol. Aristoph. Nub. 41. — 699 ὃ δ' D. ὅδ' GHL. ἄλλωϲ: γρ. καὶ αὔτωϲ A. — 703 ἔνι D. ϲτήθεϲϲιν ἀνώγῃ: ἀνώγει Townl. Vrat. c. Mosc. 3. ϲτήθεϲϲιν ὀρίνῃ E. ϲτήθεϲϲι κελεύοι L. — 704 ἐγὼ CD GHLS et Heynii omnes. — 707 ῥοδοδάκτυλοϲ A. ἠώϲ D. — 708 προ AD. — 709 ἔνι AD. ἐν C. — 710 ὣϲ A. οἵδ' CGHL. ἐπήνηϲαν ACEL Harl. Vrat. b. ἐπῄνεϲαν DGHS. — 712 κλιϲίην δὲ D. κλιϲίηνδ' E. κλιϲίηθεν C et man. rec. γρ. κλιϲίηνδε. — 713 ἔνθαδε D. ἐνθάδε G.

---

A. c. 700 ἐνῆκαϲ: ἔν τιϲι τῶν ὑπομνημάτων διὰ τοῦ ᾱ ἀνῆκαϲ Didymus.

---

V. l. 1 ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρεϲ [ἱπποκορυϲταὶ] Aristoteles Poet. 25. παναχαιῶν A.

---

A. c. Φαϲὶ τὴν ῥαψῳδίαν ὑφ' Ὁμήρου ἰδίᾳ τετάχθαι καὶ μὴ εἶναι μέροϲ Ἰλιάδοϲ, ὑπὸ δὲ Πειϲιϲτράτου τετάχθαι εἰϲ τὴν ποίηϲιν Schol. V. φαϲὶ δὲ οἱ παλαιοὶ τὴν ῥαψῳδίαν ταύτην ὑφ' Ὁμήρου ἰδίᾳ τετάχθαι καὶ μὴ ἐγκαταλεγῆναι τοῖϲ μέρεϲι τῆϲ Ἰλιάδοϲ, ὑπὸ δὲ Πειϲιϲτράτου τετάχθαι εἰϲ τὴν ποίηϲιν Eust. 785, 41. conf. H. T. 12. — 1 ἄλλοι: ὤλλοι Zenodotus, conf. ad B 1.

ἀλλ' οὐκ Ἀτρείδην Ἀγαμέμνονα, ποιμένα λαῶν,
ὕπνος ἔχε γλυκερός, πολλὰ φρεςὶν ὁρμαίνοντα.
ὡς δ' ὅτ' ἂν ἀςτράπτῃ πόςις Ἥρης ἠυκόμοιο,
τεύχων ἢ πολὺν ὄμβρον ἀθέςφατον ἠὲ χάλαζαν
ἢ νιφετόν, ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας,
ἠέ ποθι πτολέμοιο μέγα στόμα πευκεδανοῖο,
ὣς πυκίν' ἐν στήθεςςιν ἀνεςτενάχιζ' Ἀγαμέμνων
νειόθεν ἐν κραδίης, τρομέοντο δέ οἱ φρένες ἐντός.
ἤ τοι ὅτ' ἐς πεδίον τὸ Τρωικὸν ἀθρήςειε,
θαύμαζεν πυρὰ πολλά, τὰ καίετο Ἰλιόθι πρό,
αὐλῶν συρίγγων τ' ἐνοπὴν ὅμαδόν τ' ἀνθρώπων.
αὐτὰρ ὅτ' ἐς νῆάς τε ἴδοι καὶ λαὸν Ἀχαιῶν,
πολλὰς ἐκ κεφαλῆς προθελύμνους ἕλκετο χαίτας
ὑψόθ' ἐόντι Διί, μέγα δ' ἔςτενε κυδάλιμον κῆρ.
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
Νέςτορ' ἔπι πρῶτον Νηλήιον ἐλθέμεν ἀνδρῶν,
εἴ τινά οἱ ςὺν μῆτιν ἀμύμονα τεκτήναιτο,
ἥ τις ἀλεξίκακος πᾶςιν Δαναοῖςι γένοιτο.
ὀρθωθεὶς δ' ἔνδυνε περὶ στήθεςςι χιτῶνα,
ποςςὶ δ' ὑπὸ λιπαροῖςιν ἐδήςατο καλὰ πέδιλα,
ἀμφὶ δ' ἔπειτα δαφοινὸν ἑέςςατο δέρμα λέοντος,
αἴθωνος μεγάλοιο, ποδηνεκές· εἵλετο δ' ἔγχος.
ὣς δ' αὔτως Μενέλαον ἔχε τρόμος, οὐδὲ γὰρ αὐτῷ

V. l. 5 ὅταν CEGL Schol. Λ 4. ἀςτράπτει Schol. Λ 4. ἥρας H. — 7 ὅτε πέρ τε χιὼν: πολλὰς δὲ χιὼν Schol. Aristoph. Nub. 261. — 8 πόθι A. — 9 ὡς A. ἐνὶ L. ἀνεςτενάχιζ' ACDGHLS Cant. Harl. Mor. Townl. Vrat. b. Rhet. Gr. III, 106, 22: ἀνεςτονάχιζ' E. — 10 νεόθεν C 1. man. κραδίας G. — 11 ἀθρήςειε CDEHL. — 12 θαύμαζε G Schol. K 408. τὰ καίοντ' Cant. — 13 ςυρίγγων θ' ὅμαδον Aristot. Poet. 25. ἐνοπῆς, ὁμάδου τ' Max. Tyr. Diss. I, 3. ἐνοπῇ id. XXVIII, 2. — 14 νῆας τ' ἀπίδοι D. τ' εἴδοι L. — 15 πολλὰς δ' Vrat. b. — 17 ἦδε A. κατα D. — 18 ἐπι D. ἐπὶ ACGHL. — 19 ςυν S. ςυμμῆτιν CDHL Townl. ἀμείνονα C et man. rec. γρ. ἀμύμονα. τεκτῄναιτο C. — 20 ἀλεξίκακος A. πᾶςι DG. — 21 δ' ἔντυνε L. περι A. — 22 ὑπὸ ACDGH Barocc. Mor. Harl. ὑπαὶ ELS. ἐδύςατο Cant. πέδηλα G. πέδιλλα L. — 23 ἀμφι D. ἐέςςατο CDH. ἕςςατο GLS Barocc. — 25 ὡς A. ὡςαύτως H. αὔτως C ex corr. EGL Schol. K 10. αὐτῷ: αὖ, τῶι A. αὖ τῷ G.

A. c. 10 τρομέοντο: Zenodotus φοβέοντο, conf. Ariston. ad K 25. — 18 Pamphilus ἔπι: ἐπὶ Ptolem. Ascalonita. — 19 ςὺν μῆτιν: εἰςὶν οἳ ἀνέγνωςαν καθ' ἓν μέρος λόγου (ςυμμῆτιν), ὡς εὔμητιν, κακῶς Schol. A. — 25 αὐτῷ Tyrannio: αὖ τῷ Ptolem. Ascalonita, Herodiano utrumque probante.

ὕπνος ἐπὶ βλεφάροιϲιν ἐφίζανε, μή τι πάθοιεν
Ἀργεῖοι, τοὶ δὴ ἕθεν εἵνεκα πουλὺν ἐφ' ὑγρὴν
ἤλυθον ἐϲ Τροίην πόλεμον θραϲὺν ὁρμαίνοντεϲ.
παρδαλέῃ μὲν πρῶτα μετάφρενον εὐρὺ κάλυψε
ποικίλῃ, αὐτὰρ ἐπὶ ϲτεφάνην κεφαλῆφιν ἀείραϲ
θήκατο χαλκείην, δόρυ δ' εἵλετο χειρὶ παχείῃ.
βῆ δ' ἴμεν ἀνϲτήϲων ὃν ἀδελφεόν, ὃϲ μέγα πάντων
Ἀργείων ἤναϲϲε, θεὸϲ δ' ὣϲ τίετο δήμῳ.
τὸν δ' εὗρ' ἀμφ' ὤμοιϲι τιθήμενον ἔντεα καλὰ
νηὶ πάρα πρυμνῇ· τῷ δ' ἀϲπάϲιοϲ γένετ' ἐλθών.
τὸν πρότεροϲ προϲέειπε βοὴν ἀγαθὸϲ Μενέλαοϲ·
    τίφθ' οὕτωϲ ἠθεῖε κορύϲϲεαι; ἦ τιν' ἑταίρων
ὀτρυνέειϲ Τρώεϲϲιν ἐπίϲκοπον; ἀλλὰ μάλ' αἰνῶϲ
δείδω μὴ οὔ τίϲ τοι ὑπόϲχηται τόδε ἔργον,
ἄνδραϲ δυϲμενέαϲ ϲκοπιαζέμεν οἶοϲ ἐπελθὼν
νύκτα δι' ἀμβροϲίην· μάλα τιϲ θραϲυκάρδιοϲ ἔϲται.
    τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη κρείων Ἀγαμέμνων·
χρεὼ βουλῆϲ ἐμὲ καὶ ϲέ, διοτρεφὲϲ ὦ Μενέλαε,
κερδαλέηϲ, ἥ τίϲ κεν ἐρύϲϲεται ἠδὲ ϲαώϲει
Ἀργείουϲ καὶ νῆαϲ, ἐπεὶ Διὸϲ ἐτράπετο φρήν.
Ἑκτορέοιϲ ἄρα μᾶλλον ἐπὶ φρένα θῆχ' ἱεροῖϲιν.
οὐ γάρ πω ἰδόμην, οὐδ' ἔκλυον αὐδήϲαντοϲ,
ἄνδρ' ἕνα τοϲϲάδε μέρμερ' ἐπ' ἤματι μητίϲαϲθαι,

---

V. L. 26 ἐφίζανεν L. ἔπιπτεν Schol. A 194, Ξ 304. — 27 δή ἑθεν A. πουλλὴν ἐφυγρὴν G. πολλὴν C 1. man. (?) D. — 29 κάλυψε ACDEGH. — 30 κεφαλῆφιν ACEGH. — 31 θείκατο G. — 33 ἄναϲϲε G. ὡϲ AD. — 34 τιθείμενον G. τιθέμενον Mor. — 35 παρα A. παρὰ CDEGHL. — 37 ἤ G. ἢ τίν' DL. — 38 ὀτρυνέειϲ: ὀτρύνειϲ ACDGHLS. τρῴεϲϲιν L. ἐπίϲκοπον τρώεϲϲιν D. — 39 οὔ τίϲ E: ceteri οὔτιϲ. μήποτε οὔτιϲ Eust. 798, 60. — 40 ἀνδράϲι δυϲμενέεϲϲι D. — 41 μάλα τοι H. μάλα κεν E. μάλα ἂν Eust. 798, 61. ἔϲται: εἴη DE bis Eust. 798, 61. ἔϲται (ειη) A et in marg. γρ. ἔϲτιν. — 43 διοτροφὲϲ GH. — 44 ἤ τίϲ κεν A. εἴ τίϲ κεν Schol. I 393. ἐρύϲεται E Schol. I 393. — 46 ἐπιφρένα θῆκ D. — 48 τόϲϲα δὲ H. ἐπ' ἤματι ACDEHL: ἐν ἤματι GS Cant. Lips. Mor. Vrat. A. Mosc. 3.

---

A. c. 32 οὕτωϲ ἀρίϲταρχοϲ διὰ τοῦ ν̄ ἀνϲτήϲων Didymus, conf. H. T. 394. — 38 διήρηκεν ἀρίϲταρχοϲ ὀτρυνέειϲ Didymus. Aristarchus ἐπίϲκοπον (ὡϲ κατάϲκοπον): Nicias ἔπι ϲκοπόν. alii ἐπιϲκοπόν. — 41 ὁ Ἰξίων ἐϲτί γράφει Schol. V. δημήτριοϲ ἰξίων ἐν ἄλλῳ θραϲυκαρδ Schol. A. — 46 θῆχ': ἔν τιϲι τῶν ὑπομνημάτων εἶχ' ἱεροῖϲιν Didymus. — 48 ἀρίϲταρχοϲ ενήματι Didymus.

ὅϲϲ᾽ Ἕκτωρ ἔῤῥεξε διίφιλοϲ υἷαϲ Ἀχαιῶν,
αὔτωϲ, οὔτε θεᾶϲ υἱὸϲ φίλοϲ οὔτε θεοῖο.
ἔργα δ᾽ ἔρεξ᾽, ὅϲα φημὶ μεληϲέμεν Ἀργείοιϲι
δηθά τε καὶ δολιχόν· τόϲα γὰρ κακὰ μήϲατ᾽ Ἀχαιούϲ.
ἀλλ᾽ ἴθι νῦν Αἴαντα καὶ Ἰδομενῆα κάλεϲϲον
ῥίμφα θέων παρὰ νῆαϲ· ἐγὼ δ᾽ ἐπὶ Νέϲτορα δῖον
εἶμι, καὶ ὀτρυνέω ἀνϲτήμεναι, αἴ κ᾽ ἐθέλῃϲιν
ἐλθεῖν ἐϲ φυλάκων ἱερὸν τέλοϲ ἠδ᾽ ἐπιτεῖλαι.
κείνῳ γάρ κε μάλιϲτα πιθοίατο· τοῖο γὰρ υἱὸϲ
ϲημαίνει φυλάκεϲϲι καὶ Ἰδομενῆοϲ ὀπάων
Μηριόνηϲ· τοῖϲιν γὰρ ἐπετράπομέν γε μάλιϲτα.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοὴν ἀγαθὸϲ Μενέλαοϲ·
πῶϲ γάρ μοι μύθῳ ἐπιτέλλεαι ἠδὲ κελεύειϲ;
αὖθι μένω μετὰ τοῖϲι δεδεγμένοϲ εἰϲ ὅ κεν ἔλθῃϲ,
ἦε θέω μετὰ ϲ᾽ αὖτιϲ, ἐπὴν εὖ τοῖϲ ἐπιτείλω;
τὸν δ᾽ αὖτε προϲέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
αὖθι μένειν, μή πωϲ ἀβροτάξομεν ἀλλήλοιιν
ἐρχομένω· πολλαὶ γὰρ ἀνὰ ϲτρατόν εἰϲι κέλευθοι.
φθέγγεο δ᾽ ᾗ κεν ἴῃϲθα, καὶ ἐγρήγορθαι ἄνωχθι
πατρόθεν ἐκ γενεῆϲ ὀνομάζων ἄνδρα ἕκαϲτον,

V. l. 49 ἔρεξε DG. διΐ φίλοϲ ACDEGHL. — 50 αὔτωϲ EGH Schol. K 167. αύτωϲ A. φίλοϲ υἱὸϲ G Barocc. — 51 ὅϲϲα G. ἀργείοιϲι ACD. — 52 κακὰ μητίϲατ᾽ L. — 53 Αἴαντε E. αἴαντα G ex corr. cum ceteris. — 54 παρὰ DGL Barocc. ἐπὶ ACHS. ἐπινέϲτορα A. — 55 αἴ κ᾽ ἐθέλῃϲιν EGLS. αἴ κε θέλῃϲιν C. αἴ κε πίθηται ADH. γρ. αἴ κ᾽ ἐθέλῃϲι A. — 56 ἢ δ᾽ D. — 57 κείνου ACDL: κείνῳ GH Heynius, qui κείνου in textu habet, κείνῳ non commemorat. πιθοίατο: πΰθοίατο (ι superscr.) H, conf. Wolf. Proleg. 34. — 59 τοῖϲι CDEG. γὰρ ἐτράπομέν γε G. — 61 γάρ τοι (μοι superscr.) H. μύθῳ (ον superscr.) S. — 62 μετα AD. παρὰ S Cant. — 63 μετὰ ϲ᾽ DG: μετά ϲ᾽ ACEHL. αὖθιϲ G. ἐπὴν αὐτοῖϲ G Mor. εὖ omitt. C in quo add. man. rec. αὖ. ἐπιτείλλω G. ἐπιτέλλω Barocc. — 65 ἀμβροτάξομεν H. ἀβροτάζομεν Schol. Apoll. Rhod. I, 1355. ἀλλήλοιϲιν GL. — 66 ἐρχόμενοι G, conf. E ἐρχομένω ἤγουν ἐρχόμενοι. ϲτρατὸν εἰϲὶ CDL. — 67 ἤ κε L. ἐγρηγόρθαι G. ἐγρήγορθε L. τὸ ἐγρήγορθαι τὰ πλείω τῶν ἀντιγράφων προπαροξύνουϲιν ὡϲ Αἰολικόν Eust. 790, 2. ἄνοχθϊ C.

A. c. 51, 52 ἀθετοῦνται Aristonicus. καὶ Ἀριϲτοφάνηϲ προηθέτει Didymus. — 53 ἀρίϲταρχοϲ δυϊκῶϲ αἴαντε Didymus. ὁ δὲ Τήλεφοϲ λέγει κακῶϲ εἰρηκέναι τὸν Δίθυμον Schol. A. — 54 ἀρίϲταρχοϲ παρὰ νῆαϲ Didymus. — 65 τὸ δὲ ἀβροτάξομεν ψιλωτέον Herodianus. — 67 ἐγρήγορθαι Herodianus, conf. Eust. 790, 5. Et. Mg. 312, 40. Cram. An. Par. III, 79, 4 et 9. Cram. An. Ox. IV, 421, 32. ἄνωχθι Herodianus.

πάντας κυδαίνων· μηδὲ μεγαλίζεο θυμῷ,
ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα· ὧδέ που ἄμμι
Ζεὺς ἐπὶ γεινομένοισιν ἵει κακότητα βαρεῖαν.
    ὣς εἰπὼν ἀπέπεμπεν ἀδελφεὸν εὖ ἐπιτείλας.
αὐτὰρ ὃ βῆ ῥ' ἰέναι μετὰ Νέστορα, ποιμένα λαῶν·
τὸν δ' εὗρεν παρά τε κλισίῃ καὶ νηὶ μελαίνῃ
εὐνῇ ἔνι μαλακῇ· παρὰ δ' ἔντεα ποικίλ' ἔκειτο,
ἀσπὶς καὶ δύο δοῦρε φαεινή τε τρυφάλεια.
πὰρ δὲ ζωστὴρ κεῖτο παναίολος, ᾧ ῥ' ὁ γεραιὸς
ζώννυθ', ὅτ' ἐς πόλεμον φθισήνορα θωρήσσοιτο
λαὸν ἄγων, ἐπεὶ οὐ μὲν ἐπέτρεπε γήραϊ λυγρῷ.
ὀρθωθεὶς δ' ἄρ' ἐπ' ἀγκῶνος, κεφαλὴν ἐπαείρας,
Ἀτρείδην προσέειπε καὶ ἐξερεείνετο μύθῳ·
    τίς δ' οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεαι οἶος
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
ἠέ τιν' οὐρήων διζήμενος ἤ τιν' ἑταίρων;
φθέγγεο, μὴ δ' ἀκέων ἐπ' ἔμ' ἔρχεο· τίπτε δέ σε χρεώ;
    τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν,
γνώσεαι Ἀτρείδην Ἀγαμέμνονα, τὸν περὶ πάντων
Ζεὺς ἐνέηκε πόνοισι διαμπερές, εἰς ὅ κ' ἀυτμὴ
ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ' ὀρώρῃ.

V. l. 69 μὴ δὲ CDGHL. — 70 ἄμμι ACDGL: vulgo ἄμμιν. ἡμῖν E bis, idem 791, 44. — 71 ἐπι ADGHLS. ἐπὶ CE. γεινομένοισιν ACE: γινομένοισιν DGS. γιγνομένοισιν HL. — 72 ἀπέπεμψεν L Lips. — 73 ὃ CD GHL. — 74 τόν ῥ' Cant. εὗρε G. — 75 ἐνι AD. ἐνὶ CEHL. πὰρ δὲ G. παρ δ' S. ποικίλ' ἔκειτο ADEGH: ποικίλα κεῖτο CLS Cant. Harl. Vrat. b. 1. man. — 76 δοῦρα S Cant. τριφάλεια L. — 77 παρ D. παναίολος A. — 78 ζώνυθ' D Lips. Townl. ζώνυτο E. εἰς EH. θωρήσοιτο D. — 79 οὔ μιν Townl. Schol. A 250. ἐπέτρεπε CEL Schol. A 250. ἐπέτραπε A. ἐπέτραπε DGHS Mor. Harl. Vrat. b. Schol. Λ 636. — 80 ἄρ GL. ἀρ A. — 81 ἐξερέεινεν L. — 82 οὕτως Vrat. A. ἀνα AD. ἔρχεται DGL Mor. — 83 ὅτέ θ' L. ὅτε γ' G. εὕδουσιν DH. — 84 οὐρίων C 1. man. — 85 μὴ δ' ACDGHL. τίπτε σε χρειώ G. τίπτε δὲ χρειώ L. — 86 τὸν δ' αὖτε προσέειπεν Vrat. b. suprascr. — 88 γνώσεαι ACDGHS Cant. Barocc. Mor. Harl. Vrat. b. pro var. lect. c. A. Mosc. 1. Apoll. de Pron. 31 A; de Synt. 73, 5. εἴσεαι EL, addito in E τουτέστι γνώσεαι, quod si minus bene esset firmatum, non dubitarem glossema dicere, conf. Hesych. II, 34 εἴσεαι: γνώσῃ. περι D. πέρι EGL. — 89 ἐνέεικε H. — 90 στήθεσι G.

A. c. 71 γεινομένοισιν, conf. X 477, Ψ 79, Ω 128, 210, δ 208, η 198. — 79 ἀρίσταρχος ἐπέτρεπε Didymus. — 84 ἀθετεῖται Aristonicus.

πλάζομαι ὧδ᾽, ἐπεὶ οὔ μοι ἐπ᾽ ὄμμαςι νήδυμοϲ ὕπνοϲ
ἱζάνει, ἀλλὰ μέλει πόλεμοϲ καὶ κήδε᾽ Ἀχαιῶν.
αἰνῶϲ γὰρ Δαναῶν περιδείδια, οὐδέ μοι ἦτορ
ἔμπεδον, ἀλλ᾽ ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω
ϲτηθέων ἐκθρῴϲκει, τρομέει δ᾽ ὑπὸ φαίδιμα γυῖα.
ἀλλ᾽ εἴ τι δραίνειϲ, ἐπεὶ οὐδὲ ϲέ γ᾽ ὕπνοϲ ἱκάνει,
δεῦρ᾽ ἐϲ τοὺϲ φύλακαϲ καταβείομεν, ὄφρα ἴδωμεν,
μὴ τοὶ μὲν καμάτῳ ἁδηκότεϲ ἠδὲ καὶ ὕπνῳ
κοιμήϲωνται, ἀτὰρ φυλακῆϲ ἐπὶ πάγχυ λάθωνται.
δυϲμενέεϲ δ᾽ ἄνδρεϲ ϲχεδὸν εἵαται· οὐδέ τι ἴδμεν,
μή πωϲ καὶ διὰ νύκτα μενοινήϲωϲι μάχεϲθαι.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιοϲ ἱππότα Νέϲτωρ·
Ἀτρείδη κύδιϲτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
οὔ θην Ἕκτορι πάντα νοήματα μητίετα Ζεὺϲ
ἐκτελέει, ὅϲα πού νυν ἐέλπεται· ἀλλά μιν οἴω
κήδεϲι μοχθήϲειν καὶ πλείοϲιν, εἴ κεν Ἀχιλλεὺϲ
ἐκ χόλου ἀργαλέοιο μεταϲτρέψῃ φίλον ἦτορ.
ϲοὶ δὲ μάλ᾽ ἕψομ᾽ ἐγώ· ποτὶ δ᾽ αὖ καὶ ἐγείρομεν ἄλλουϲ,
ἠμὲν Τυδείδην δουρὶ κλυτὸν ἠδ᾽ Ὀδυϲῆα
ἠδ᾽ Αἴαντα ταχὺν καὶ Φυλέοϲ ἄλκιμον υἱόν.
ἀλλ᾽ εἴ τιϲ καὶ τοῦϲδε μετοιχόμενοϲ καλέϲειεν,
ἀντίθεόν τ᾽ Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα·
τῶν γὰρ νῆεϲ ἔαϲιν ἑκαϲτάτω, οὐδὲ μάλ᾽ ἐγγύϲ.

V. l. 91 ὄμμαςι, νήδυμοϲ A. — 93 πέρὶ δείδια A. πέρι δείδια CE bis GHLS Athenaeus XV, 688. περιδείδια D. — 94 ἀλαλύκτημαι A. ἀλύκτημαι GH 1. man. L. — 95 ἐκθρώιϲκει A. ὑπο ADL. ὕπο E Athen. XV, 688. — 96 εἴ τοι G. οὐδέ ϲε γ᾽ L. — 97 εἰϲ ADGH. καταβήομεν A. μεταβείομεν Townl. εἴδωμεν D. — 98 ἁδηκότεϲ A. ἀδδηκότεϲ ES Schol. μ 281. — 99 κοιμήϲονται S Cant. Mosc. 3. ἐπιπάγχυ ADGHL Mor. — 100 εἴαται C. ἴϲμεν L. — 104 οὔ θην: οὐ δὴ E. μητιέτα L. — 105 ἐκτελέϲει DS. που νῦν CDE 791, 54 GHS Mor. Harl. Cant. Mosc. 3. ἔλπεται GH 1. man. Mor. Harl. Cant. Mosc. 3. νυν ἐέλ$^{δ}$πεται A. νυν ἐέλπεται E 792, 15 L Schol. Φ 428. ὀΐω CDGHL. — 106 ἀχϊλεὺϲ C. — 107 μεταϲτρέφῃ L. — 108 ποτι AD. προτὶ CL. — 109 δουρὶ κλυτὸν A. ὀδυϲϲῆα D. — 111 ἀλλ᾽ ἄγε τιϲ E 792, 45. τοῦϲδε A. καλέϲειε D. — 112 τ᾽ omitt. L. — 113 ἑκαϲτάτωι A. καὶ οὐ μάλ᾽ L.

A. c. 93 περιδείδια: πιθανώτερόν πώϲ ἐϲτιν ἀναϲτρέφειν· δύναται δὲ καὶ τὸ ἕτερον Herodianus, conf. H. T. 338 sq. — 95 ἐκ θρώϲκει Nicias et ὕπο. — 97 καταβείομεν, conf. H. U. 151. — 98 ἁδηκότεϲ Aristarchus, conf. H. T. 179. ἠδὲ καὶ: ἠδέι Zenodotus. — 111 τοῦϲδε, non τούϲδε, veteres.

ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον
νεικέϲω, εἴ πέρ μοι νεμεϲήϲεαι, οὐδ᾽ ἐπικεύϲω,
ὡϲ εὕδει, ϲοὶ δ᾽ οἴῳ ἐπέτρεψεν πονέεϲθαι.
νῦν ὄφελεν κατὰ πάνταϲ ἀριϲτῆαϲ πονέεϲθαι
λιϲϲόμενοϲ· χρειὼ γὰρ ἱκάνεται οὐκέτ᾽ ἀνεκτόϲ.
τὸν δ᾽ αὖτε προϲέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ὦ γέρον, ἄλλοτε μέν ϲε καὶ αἰτιάαϲθαι ἄνωγα·
πολλάκι γὰρ μεθιεῖ τε καὶ οὐκ ἐθέλει πονέεϲθαι,
οὔτ᾽ ὄκνῳ εἴκων οὔτ᾽ ἀφραδίῃϲι νόοιο,
ἀλλ᾽ ἐμέ τ᾽ εἰϲορόων καὶ ἐμὴν ποτιδέγμενοϲ ὁρμήν.
νῦν δ᾽ ἐμέο πρότεροϲ μάλ᾽ ἐπέγρετο καί μοι ἐπέϲτη·
τὸν μὲν ἐγὼ προέηκα καλήμεναι οὓϲ ϲὺ μεταλλᾷϲ.
ἀλλ᾽ ἴομεν· κείνουϲ δὲ κιχηϲόμεθα πρὸ πυλάων
ἐν φυλάκεϲϲ᾽, ἵνα γάρ ϲφιν ἐπέφραδον ἠγερέθεϲθαι.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιοϲ ἱππότα Νέϲτωρ·
οὕτωϲ οὔ τίϲ οἱ νεμεϲήϲεται οὐδ᾽ ἀπιθήϲει
Ἀργείων, ὅτε κέν τιν᾽ ἐποτρύνῃ καὶ ἀνώγῃ.
ὣϲ εἰπὼν ἔνδυνε περὶ ϲτήθεϲϲι χιτῶνα,
ποϲϲὶ δ᾽ ὑπὸ λιπαροῖϲιν ἐδήϲατο καλὰ πέδιλα,
ἀμφὶ δ᾽ ἄρα χλαῖναν περονήϲατο φοινικόεϲϲαν,
διπλῆν, ἐκταδίην, οὔλη δ᾽ ἐπενήνοθε λάχνη.
εἵλετο δ᾽ ἄλκιμον ἔγχοϲ ἀκαχμένον ὀξέι χαλκῷ,
βῆ δ᾽ ἰέναι κατὰ νῆαϲ Ἀχαιῶν χαλκοχιτώνων.
πρῶτον ἔπειτ᾽ Ὀδυϲῆα, Διὶ μῆτιν ἀτάλαντον,

---

V. L. 115 νεικέω H. εἴ πέρ μοι ACDE. νεμεϲήϲεαι: νεμεϲήϲεται G Mor. γρ. νεμεϲήϲεται A. — 116 ἐπέτρεψε G. — 118 ἀνεκτή C et man. rec. γρ. καὶ ἀνεκτόϲ, conf. Λ 610. — 120 αἰτιάϲαϲθαι Barocc. — 121 μεθίει ACDEGHL, conf. Eust. 793, 40. — 124 μάλ᾽: μέγ᾽ Et. Mg. 574, 31. — 126 δὴ κιχηϲομεθα D. προ A. — 127 ἠγερέεϲθαι ACDEGHLS Apoll. Lex. 91, 11. Et. Mg. 471, 8. Et. Gud. 278, 52. Cram. An. Par. III, 374, 12. — 129 οὔτίϲ, οἱ A. οὔτίϲ οἱ DH. οὔτιϲ τοι L. οὔτῖϲ ϲοι C et man. rec. γρ. οἱ. οὔτιϲ ϲοι Townl. — 131 ἐνέδυνε S. ἔδυνε L. ϲτήθεϲι G. — 132 ὕπο A. ὑπαὶ LS. ὑπὸ C et man. rec. γρ. αι. ἐδύϲατο H Cant. πέδηλα G. πέδιλλα L. — 133 ἄμφι A. — 134 ἐπενήνετο L. — 136 χαλκοχιτώνων A. — 137 ἔπειθ᾽ C. ὀδυϲϲῆα G.

---

A. c. 115 εἴ περ Aristarchus: alii εἰ καί. — 124 ὁ Ἰξίων μέγ᾽ ἐπέγρετο, καὶ μήποτε ἡ Ἀριϲτάρχειοϲ οὕτωϲ εἶχεν Didymus. — 127 ϲφιν: μιν Zenodotus. διὰ τοῦ θ αἱ ἀριϲτάρχου ἠγερέθεϲθαι (Cod. ἠγερεϲθαι). — 129 ἔξω τοῦ τ οὔτιϲ, οἱ Didymus. — 130 διὰ τοῦ ε ἐποτρύνει καὶ ἀνώγει Schol. A. — 134 Aristarchus, Alexio, Ptolem. Ascalonita οὖλη: οὐλὴ Nicias.

ἐξ ὕπνου ἀνέγειρε Γερήνιος ἱππότα Νέϲτωρ
φθεγξάμενοϲ· τὸν δ' αἶψα περὶ φρέναϲ ἤλυθ' ἰωή,
ἐκ δ' ἦλθε κλιϲίηϲ καί ϲφεαϲ πρὸϲ μῦθον ἔειπε·
    τίφθ' οὕτω κατὰ νῆαϲ ἀνὰ ϲτρατὸν οἶοι ἀλᾶϲθε
νύκτα δι' ἀμβροϲίην, ὅ τι δὴ χρειὼ τόϲον ἵκει;
    τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιοϲ ἱππότα Νέϲτωρ·
διογενὲϲ Λαερτιάδη, πολυμήχαν' Ὀδυϲϲεῦ,
μὴ νεμέϲα· τοῖον γὰρ ἄχοϲ βεβίηκεν Ἀχαιούϲ.
ἀλλ' ἕπευ, ὄφρα καὶ ἄλλον ἐγείρομεν, ὅν τ' ἐπέοικε
βουλὰϲ βουλεύειν, ἢ φευγέμεν ἠὲ μάχεϲθαι.
    ὣϲ φάθ', ὁ δὲ κλιϲίην δὲ κιὼν πολύμητιϲ Ὀδυϲϲεὺϲ
ποικίλον ἀμφ' ὤμοιϲι ϲάκοϲ θέτο, βῆ δὲ μετ' αὐτούϲ.
βὰν δ' ἐπὶ Τυδείδην Διομήδεα· τὸν δὲ κίχανον
ἐκτὸϲ ἀπὸ κλιϲίηϲ ϲὺν τεύχεϲιν· ἀμφὶ δ' ἑταῖροι
εὗδον, ὑπὸ κραϲὶν δ' ἔχον ἀϲπίδαϲ· ἔγχεα δέ ϲφιν
ὄρθ' ἐπὶ ϲαυρωτῆροϲ ἐλήλατο, τῆλε δὲ χαλκὸϲ
λάμφ' ὥϲ τε ϲτεροπὴ πατρὸϲ Διόϲ. αὐτὰρ ὅ γ' ἥρωϲ
εὗδ', ὑπὸ δ' ἔϲτρωτο ῥινὸν βοὸϲ ἀγραύλοιο,
αὐτὰρ ὑπὸ κράτεϲφι τάπηϲ τετάνυϲτο φαεινόϲ.
τὸν παρϲτὰϲ ἀνέγειρε Γερήνιοϲ ἱππότα Νέϲτωρ,
λὰξ ποδὶ κινήϲαϲ, ὤτρυνέ τε νείκεϲέ τ' ἄντην·
    ἔγρεο Τυδέοϲ υἱέ· τί πάννυχον ὕπνον ἀωτεῖϲ;
οὐκ ἀίειϲ, ὡϲ Τρῶεϲ ἐπὶ θρῳϲμῷ πεδίοιο

V. L. 139 περι D. — 140 καὶ ϲφέαϲ GL. ἔειπε ACDGH. — 141 οὕτω ἐπὶ A. οὕτωϲ ἐπὶ DH Vrat. b. 2. man. γρ. κατανήαϲ A. κατὰ νῆα κατὰ Lips. ἀλᾶϲθαι G. ἀλάαϲθε L, omisso οἶοι. — 142 διαμβροϲίην D. γρ. καὶ ὀρφναίην A. ὅ, τι (ε) S. ἥκει L. ἵκοι Barocc. Mor. — 145 Ἀχαιοῖϲ Zonar. Lex. 385. — 146 ἕπε' Townl., ceteri ἕπευ. ἐπεγείρομεν L. ἐπέοικε ACD HL. ἐπέεικε G. ὃν ἐπέοικε E. — 148 ὡϲ A. ἔφαθ' G. ὃ δὲ C. κλιϲίην δε A. κλιϲίην γε D. — 150 * δὲ κίχανον: libri δ' ἐκίχανον. — 151 ἀμφι D. — 152 κραϲὶ G. ϲφι D. — 154 ὥϲ τ' ἀϲτεροπὴ DS Cant. ὡϲ ἀϲτεροπὴ L, conf. Λ 66, 184. διὸϲ πατρὸϲ D. — 155 εὗδεν ὑπο (αι) δ' L. ῥινὸϲ Schol. ε 426; Λ 731. — 156 ὑπο AD. ἐπὶ Schol. ε 281. τάπιϲ G. — 157 πὰρ ϲτὰϲ AG Mor. παραϲτὰϲ DL. — 158 ὄτρυνέ L. — 159 ἔγρεο CELS: ὄρϲεο ADGH Vrat. b. Eust. 519, 32 διὸ καὶ ὁ Νέϲτωρ τῷ Διομήδει κειμένῳ που φηϲίν· „ἔγρεο μή τίϲ τοι (καθ)εύδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ“, quem versum laudat Diog. Laert. VI, 2, 6 (μήτιϲ ϲοι εὕδοντι κτλ.), conf. Θ 95. — 160 τρῷεϲ L.

A. c. 146 ἀρίϲταρχοϲ χωρὶϲ τοῦ υ ἀλλ' ἕπε' ὄφρα Didymus. — 153 ϲαυρωτῆροϲ: ϲαυρωτῆραϲ Aristophanes. — 158 asteriscus: κακῶϲ ο 45. — 159 διχῶϲ ἀρίϲταρχοϲ ἔγρεο καὶ ὄρϲεο Didymus. — 160 θρῳϲμῷ Apollonius Archibii: θρωϲμῷ χωρὶϲ τοῦ ἰῶτα Didymus, conf. H. U. 217.

εἵαται ἄγχι νεῶν, ὀλίγος δ' ἔτι χῶρος ἐρύκει;
ὣς φάθ', ὃ δ' ἐξ ὕπνοιο μάλα κραιπνῶς ἀνόρουσε,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
σχέτλιός ἐσσι γεραιέ· σὺ μὲν πόνου οὔ ποτε λήγεις.
οὔ νυ καὶ ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν,
οἵ κεν ἔπειτα ἕκαστον ἐγείρειαν βασιλήων
πάντῃ ἐποιχόμενοι; σὺ δ' ἀμήχανός ἐσσι γεραιέ.
τὸν δ' αὖτε προσέειπε Γερήνιος ἱππότα Νέστωρ·
ναὶ δὴ ταῦτά γε πάντα φίλος κατὰ μοῖραν ἔειπες.
εἰσὶν μέν μοι παῖδες ἀμύμονες, εἰσὶ δὲ λαοί,
καὶ πολέες, τῶν κέν τις ἐποιχόμενος καλέσειεν·
ἀλλὰ μάλα μεγάλη χρειὼ βεβίηκεν Ἀχαιούς.
νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς
ἢ μάλα λυγρὸς ὄλεθρος Ἀχαιοῖς, ἠὲ βιῶναι.
ἀλλ' ἴθι νῦν Αἴαντα ταχὺν καὶ Φυλέος υἱὸν
ἄνστησον, σὺ γάρ ἐσσι νεώτερος, εἴ μ' ἐλεαίρεις.
ὣς φάθ', ὃ δ' ἀμφ' ὤμοισιν ἐέσσατο δέρμα λέοντος
αἴθωνος μεγάλοιο ποδηνεκές, εἵλετο δ' ἔγχος.
βῆ δ' ἰέναι, τοὺς δ' ἔνθεν ἀναστήσας ἄγεν ἥρως.
οἳ δ' ὅτε δὴ φυλάκεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν,
οὐδὲ μὲν εὕδοντας φυλάκων ἡγήτορας εὗρον,
ἀλλ' ἐγρηγορτὶ σὺν τεύχεσιν εἵατο πάντες.
ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωσιν ἐν αὐλῇ
θηρὸς ἀκούσαντες κρατερόφρονος, ὅς τε καθ' ὕλην

---

V. l. 161 εἵαται ACH. εἵατ' D. δ' ἔτι: δέ τι CDG. δέ τις Vrat. c. Mosc. 3. δέ τε E Vrat. b. ἐρύκοι Harl. Vrat. c. — 162 ὡς A. ἔφαθ' ὅδ' G. ὃ δ' CL. ὕπνου E. μάλα σφοδρῶς C. ἀνόρουσε ACDGL. ἀνόρουε H. — 163 προσηῦδα D. — 164 σχέτλιος ἐσσὶ CL Et. Mg. 740, 30. — 166 βασιλείων D. — 167 πάντη AE: ceteri πάντῃ. ἀμήχανος ἐσσὶ GL Et. Gud. 602, 3. — 168 αὖτε προσέειπε: ἐν ἄλλῳ ἠμείβετ' ἔπειτα A. — 169 πάντα γέρων Barocc. κατα A. ἔειπας CG. — 170 εἰσὶ DEG 1. man. H. δὲ: καὶ D. — 176 γὰρ ἐσσὶ DG. εἴ με ἐλείρεις G. — 177 ὡς A. ἔφαθ' ὅδ' G. ὃ δ' CDL. ὤμοισιν C. ἐέσσατο CDHL. ἐέσατο G Barocc. — 180 οἵδ' CGL. ἐναγρομένοισιν E. ἀγρομένοισιν ἔμιχθεν ADHLS Cant. Harl. Vrat. A. ἀγρομένοισι γένοντο CG. — 182 εἵατο D. — 183 περι A. δυσωρήσονται A. δυσωρήσονται CDEGLS Et. Mg. 292, 50. — 184 ὥστε D.

---

A. c. 161 δ' ἔτι: ἀρίσταρχος ὀλίγος δέ τε. γρ. δὲ καὶ ὀλίγος δ' ἀπο χῶρος ἐέργει Didymus. — 169 φίλος: τέκος Aristophanes. — 176 οὕτως διὰ τοῦ ν ἄνστησον αἱ Ἀριστάρχου Didymus. — 183 δυσωρήσωσιν ex Apoll. Lex. 60, 26 receperunt viri docti.

ἔρχηται δι᾽ ὄρεϲφι· πολὺϲ δ᾽ ὀρυμαγδὸϲ ἐπ᾽ αὐτῷ
ἀνδρῶν ἠδὲ κυνῶν· ἀπό τέ ϲφιϲιν ὕπνοϲ ὄλωλεν·
ὣϲ τῶν νήδυμοϲ ὕπνοϲ ἀπὸ βλεφάροιιν ὀλώλει
νύκτα φυλαϲϲομένοιϲι κακήν· πεδίον δὲ γὰρ αἰεὶ
τετράφαθ᾽, ὁππότ᾽ ἐπὶ Τρώων ἀίοιεν ἰόντων.
τοὺϲ δ᾽ ὁ γέρων γήθηϲεν ἰδὼν θάρϲυνέ τε μύθῳ
[καί ϲφεαϲ φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα]·
οὕτω νῦν φίλα τέκνα φυλάϲϲετε· μηδέ τιν᾽ ὕπνοϲ
αἱρείτω, μὴ χάρμα γενώμεθα δυϲμενέεϲϲιν.
ὣϲ εἰπὼν τάφροιο διέϲϲυτο· τοὶ δ᾽ ἅμ᾽ ἕποντο
Ἀργείων βαϲιλῆεϲ, ὅϲοι κεκλήατο βουλήν.
τοῖϲ δ᾽ ἅμα Μηριόνηϲ καὶ Νέϲτοροϲ ἀγλαὸϲ υἱὸϲ
ἤιϲαν· αὐτοὶ γὰρ κάλεον ϲυμμητιάαϲθαι.
τάφρον δ᾽ ἐκδιαβάντεϲ ὀρυκτὴν ἑδριόωντο
ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶροϲ
πιπτόντων, ὅθεν αὖτιϲ ἀπετράπετ᾽ ὄβριμοϲ Ἕκτωρ
ὀλλὺϲ Ἀργείουϲ, ὅτε δὴ περὶ νὺξ ἐκάλυψεν.
ἔνθα καθεζόμενοι ἔπε᾽ ἀλλήλοιϲι πίφαυϲκον.
τοῖϲι δὲ μύθων ἦρχε Γερήνιοϲ ἱππότα Νέϲτωρ·
ὦ φίλοι, οὐκ ἂν δή τιϲ ἀνὴρ πεπίθοιθ᾽ ἑῷ αὐτοῦ
θυμῷ τολμήεντι μετὰ Τρῶαϲ μεγαθύμουϲ
ἐλθεῖν; εἴ τινά που δηίων ἕλοι ἐϲχατόωντα,
ἤ τινά που καὶ φῆμιν ἐνὶ Τρώεϲϲι πύθοιτο,
ἅϲϲά τε μητιόωϲι μετὰ ϲφίϲιν, ἢ μεμάαϲιν
αὖθι μένειν παρὰ νηυϲὶν ἀπόπροθεν, ἦε πόλιν δὲ

V. ι. 185 ἔρχεται D. διόρεϲφιν D. ὀρυγμαδὸϲ CGH. ἐπαυτῶι A. ὑπ᾽ αὐτῶι D. ὀρώρει ὑπ᾽ αὐτοῦ H. — 186 ἀπο A. τε ϲφίϲιν GL. τέ ϲφϊν CD. ὀλώλει Bekk. Anecd. 1146. — 187 ὡϲ A. τῶν, νήδυμοϲ G. ἀπο D. βλεφάρων G. ὄλωλε Eust. 1073, 58. — 188 φυλαϲϲομένοιϲι: φυλαϲϲομένων γε G. πεδίον δὲ A. πεδίον γὰρ DGH. — 189 τέτραφθ᾽ Lips. Townl. ἐπι D. τρώων L. — 191 omitt. AD in t. L Harl. Townl.: habent CD 2. man. in marg. GHS. καὶ ϲφέαϲ G. — 192 μὴ δέ CHL. — 196 τοῖϲι δ᾽ D. — 197 ϲυμμητιάαϲθαι A. — 200 αὖθιϲ CH. ἐπετράπετ᾽ C. ὄμβριμοϲ CGH Mor. Barocc. — 201 περι ACD. — 202 ἀλλήλοιϲιν ἐπίφαυϲκον L. πίφαϲκον G. πέφαϲκον H. — 203 δὲ μύθων ἦρχε: ἐν ἄλλῳ δὲ καὶ μετέειπε A. — 204 πεπίθοι G. αὐτῶ L. — 205 μετα A. τρῷαϲ L. — 206 εἴη τινά που H. — 207 εἴ τινά Harl. Cant. Townl. Et. Mg. 791, 39. φήμην CGH 1. man. Vrat. b. c. γρ. φήμην Townl. ἐνι AD. τρῴεϲϲι L. — 208 ἅϲϲά τε ACDGH. μετα D. — 209 παρα A. πόλιν δὲ A.

A. c. 187 νήδυμοϲ Aristarchus ϲὺν τῷ ν̄. — 208—210 asterisci: κακῶϲ 409—411.

ἂψ ἀναχωρήcουcιν, ἐπεὶ δαμάcαντό γ' Ἀχαιούc.
ταῦτά κε πάντα πύθοιτο καὶ ἂψ εἰc ἡμέαc ἔλθοι
ἀcκηθήc· μέγα κέν οἱ ὑπουράνιον κλέοc εἴη
πάνταc ἐπ' ἀνθρώπουc, καί οἱ δόcιc ἔccεται ἐcθλή.
ὅccοι γὰρ νήεccιν ἐπικρατέουcιν ἄριcτοι,
τῶν πάντων οἱ ἕκαcτοc ὄιν δώcουcι μέλαιναν,
θῆλυν ὑπόρηνον· τῇ μὲν κτέραc οὐδὲν ὁμοῖον,
αἰεὶ δ' ἐν δαίτῃcι καὶ εἰλαπίνῃcι παρέcται.
ὣc ἔφαθ', οἳ δ' ἄρα πάντεc ἀκὴν ἐγένοντο cιωπῇ·
τοῖcι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸc Διομήδηc·
Νέcτορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸc ἀγήνωρ
ἀνδρῶν δυcμενέων δῦναι cτρατὸν ἐγγὺc ἐόντων,
Τρώων· ἀλλ' εἴ τίc μοι ἀνὴρ ἅμ' ἕποιτο καὶ ἄλλοc,
μᾶλλον θαλπωρὴ καὶ θαρcαλεώτερον ἔcται.
cύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῦ ἐνόηcεν,
ὅππωc κέρδοc ἔῃ· μοῦνοc δ' εἴ πέρ τε νοήcῃ,
ἀλλά τε οἱ βράccων τε νόοc, λεπτὴ δέ τε μῆτιc.
ὣc ἔφαθ', οἳ δ' ἔθελον Διομήδεϊ πολλοὶ ἕπεcθαι.
ἠθελέτην Αἴαντε δύω, θεράποντεc Ἄρηοc,
ἤθελε Μηριόνηc, μάλα δ' ἤθελε Νέcτοροc υἱόc,
ἤθελε δ' Ἀτρεΐδηc δουρὶ κλειτὸc Μενέλαοc,
ἤθελε δ' ὁ τλήμων Ὀδυcεὺc καταδῦναι ὅμιλον
Τρώων· αἰεὶ γάρ οἱ ἐνὶ φρεcὶ θυμὸc ἐτόλμα.
τοῖcι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Τυδεΐδη Διόμηδεc, ἐμῷ κεχαριcμένε θυμῷ,

V. l. 210 γ' omitt. G. — 211 ταῦτά κε CDE. ταῦτά τε (κ supra) A. ταῦτά τε Ambr. GHL (τὲ) Cant. Barocc. Mor. Townl. Vrat. b. in litura. — 212 ЄΙΗΙ Ambros. — 217 δ' omitt. E. — 218 ὡc A. οἵδ' GL. — 221 δύναι H. ἐόντων CDEGH Harl. Vrat. b. ἐόντων (α supra) AS. ἐόντα L. — 222 τρῴων CL. εἴ τιc μοι CGHL. — 223 θαρcαλεώτεροc ἐcτὶν L. ἔcτι Barocc. Mor. — 224 cὺν δὲ Schol. Γ 211. ἐρχομένω (ν supra) G. καί τοι L. ὃ ACDGHL. — 225 κέρδιον εἴη G Mor. εἴη DL. εἴ πέρ τε ACEH. εἴπέρ τι L. εἴπερ τὶ G. νοήcει C. νοήcοι L. — 226 τε omitt. L. — 227 ὡc A. οἵδ' CGHL. ordo in G est 227, 229, 230, 228, 231. — 228 θεράποντε GL. — 230 omitt. S Mosc. 3. δουρὶ κλειτὸc (υ supra) A. δουρικλυτὸc CG. δουρυκλυτὸc DG. ceteri δουρικλειτὸc. — 231 ὀδυccεὺc DEGS. καταδῦναι: δῦναι S. — 232 τρῴων L. ἀεὶ GL: γὰρ ἐνὶ S. — 233 καὶ omitt. HS.

A. c. 216 ὑπόῤῥηνον δὲ γράφει διὰ τοῦ ἑτέρου ρ̄ Schol V. — 224 ἐρχομένω Aristarchus: alii ἐρχομένων.

τὸν μὲν δὴ ἕταρόν γ' αἱρήϲεαι, ὅν κ' ἐθέληϲθα,
φαινομένων τὸν ἄριϲτον, ἐπεὶ μεμάαϲί γε πολλοί.
μὴ δὲ ϲύ γ' αἰδόμενοϲ ϲῇϲι φρεϲὶ τὸν μὲν ἀρείω
καλλείπειν, ϲὺ δὲ χείρον' ὀπάϲϲεαι αἰδοῖ εἴκων,
ἐϲ γενεὴν ὁρόων, μὴ δ' εἰ βαϲιλεύτερόϲ ἐϲτιν.
ὣϲ ἔφατ', ἔδειϲεν δὲ περὶ ξανθῷ Μενελάῳ.
τοῖϲ δ' αὖτιϲ μετέειπε βοὴν ἀγαθὸϲ Διομήδηϲ·
εἰ μὲν δὴ ἕταρόν γε κελεύετέ μ' αὐτὸν ἑλέϲθαι,
πῶϲ ἂν ἔπειτ' Ὀδυϲῆοϲ ἐγὼ θείοιο λαθοίμην,
οὗ περὶ μὲν πρόφρων κραδίη καὶ θυμὸϲ ἀγήνωρ
ἐν πάντεϲϲι πόνοιϲι, φιλεῖ δέ ἑ Παλλὰϲ Ἀθήνη.
τούτου γ' ἑϲπομένοιο καὶ ἐκ πυρὸϲ αἰθομένοιο
ἄμφω νοϲτήϲαιμεν, ἐπεὶ περίοιδε νοῆϲαι.
τὸν δ' αὖτε προϲέειπε πολύτλαϲ δῖοϲ Ὀδυϲϲεύϲ·
Τυδείδη, μήτ' ἄρ με μάλ' αἴνεε μήτέ τι νείκει·
εἰδόϲι γάρ τοι ταῦτα μετ' Ἀργείοιϲ ἀγορεύειϲ.
ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται, ἐγγύθι δ' ἠώϲ,
ἄϲτρα δὲ δὴ προβέβηκε, παρῴχωκεν δὲ πλέων νὺξ

V. L. 235 τὸν: τῶν HS Cant. γρ. τῶν C man. rec. — 236 γε πάντεϲ H. — 237 μὴ δὲ ACDGHL. — 238 ὀπάζεαι H, ϲ man. rec. — 239 μὴ δ' CDGHL. βαϲιλεύτατόϲ H Mor. Barocc. ἐϲτιν: εἴη L. — 240 ὥϲ A. ἔδδειϲε E bis. — 241 τοῖϲι δ' D. αὖθιϲ C. προϲέειπε L. — 242 ἔμ' αὐτὸν Townl., ceteri κελεύετέ μ' αὐτὸν cum Apollon. de Pron. 57 C. — 243 ὀδυϲϲῆοϲ DGH. — 244 περὶ ACD Schol. Β 831: πέρι EGHL. μέν γε πρόφρων G. — 246 τοῦδ' G 1. man. τούτου 2. man. omisso γ'. — 247 περίοιδε A. περίειδε G. — 249 μή τάρ μέ D. αἴνεαι D. μήτέ τι ACDHL Apoll. de Synt. 296, 16. Schol. Θ 4. μή τε γε νείκει G. — 250 γὰρ τοιαῦτα H. ἀγορεύοιϲ H. — 251 εἴομεν G. ἄνυται G. — 252 παρῴχηκεν ACEH Hesychius I, 306. Schol. α 58. Aristoteles Poet. 25. παρῴχηκε DGL Schol. I 71. Bekk. Anecd. 1249. Cram. Epim. 375, 12. Rhet. Gr. III, 103, 1. πλέων DE 802, 7 G 2. man. HL Aristot. Poet. 25. Schol. α 58: πλέω AC E 802, 20 G 1. man. S Cant. Lips. Mor. Harl. Vrat. b. 1. man. Hesych. III, 344. Schol. I 71. Cram. Epim. 375, 12. πλέον Porphyrius, Rhet. Gr. III, 103, 1. πλεονύξ Bekk. Anecd. 1249. τὸ δὲ πλέω εἰ μὲν δίχα τοῦ ν γράφεται δηλοῖ ἂν ὡϲ ἡ νὺξ κατὰ πλέω μοῖραν τῶν δύο παρῆλθεν, εἰ δὲ μετὰ τοῦ ν γράφεται, λέγει ἂν ὅτι παρῴχετο πλέων νὺξ τῶν δύο μοιρῶν.

A. c. 240 ἀθετεῖται Aristonicus. οὐδὲ ἐν τῇ Ζηνοδότου δὲ ἦν Didymus. — 242 κελεύετέ μ' Aristarchus, Ptolem. Ascalonita, Herodianus Il. Pros. I 680: κελεύετ' ἔμ' Alexio. — 246 γ' ἑϲπομένοιο Aristarchus: γε ϲπομένοιο Ptolem. Ascalonita. — 247 περίοιδε Aristarchus: alii περὶ vel πέρι οἶδε. — 252 ἀρίϲταρχοϲ παρώιχωκεν Didymus. οὕτωϲ καὶ Δωρόθεοϲ ἐν τριακοϲτῷ πρώτῳ τῆϲ Ἀττικῆϲ λέξεωϲ ἀξιοῖ γράφειν, τὴν μὲν πρώτην διὰ τῆϲ οι διφθόγγου, τὴν δὲ δευτέραν διὰ τοῦ ω, παροίχωκεν, ἀποτεινόμενοϲ πολλὰ πρὸϲ Ἀριϲτόνικον καὶ Τρύφωνα

τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται.
ὣς εἰπόνθ' ὅπλοιϲιν ἔνι δεινοῖϲιν ἐδύτην.
Τυδείδῃ μὲν δῶκε μενεπτόλεμος Θραϲυμήδηϲ
φάϲγανον ἄμφηκεϲ, τὸ δ' ἑὸν παρὰ νηὶ λέλειπτο,
καὶ ϲάκοϲ· ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε
ταυρείην, ἄφαλόν τε καὶ ἄλλοφον, ἥ τε καταῖτυξ
κέκληται, ῥύεται δὲ κάρη θαλερῶν αἰζηῶν.
Μηριόνηϲ δ' Ὀδυϲῆι δίδου βιὸν ἠδὲ φαρέτρην
καὶ ξίφοϲ· ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε,
ῥινοῦ ποιητήν· πολέϲιν δ' ἔντοϲθεν ἱμᾶϲιν
ἐντέτατο ϲτερεῶϲ· ἔκτοϲθε δὲ λευκοὶ ὀδόντεϲ
ἀργιόδοντοϲ ὑὸϲ θαμέεϲ ἔχον ἔνθα καὶ ἔνθα
εὖ καὶ ἐπιϲταμένωϲ· μέϲϲῃ δ' ἐνὶ πῖλοϲ ἀρήρει.
τήν ῥά ποτ' ἐξ Ἐλεῶνοϲ Ἀμύντοροϲ Ὀρμενίδαο
ἐξέλετ' Αὐτόλυκοϲ πυκινὸν δόμον ἀντιτορήϲαϲ·
Ϲκάνδειαν δ' ἄρα δῶκε Κυθηρίῳ Ἀμφιδάμαντι·
Ἀμφιδάμαϲ δὲ Μόλῳ δῶκε ξεινήιον εἶναι,
αὐτὰρ ὃ Μηριόνῃ δῶκεν ᾧ παιδὶ φορῆναι·
δὴ τότ' Ὀδυϲϲῆοϲ πύκαϲεν κάρη ἀμφιτεθεῖϲα.
τὼ δ' ἐπεὶ οὖν ὅπλοιϲιν ἔνι δεινοῖϲιν ἐδύτην,

---

V. l. 253 δ' ἔτι: δέ τι L. δέ τοι H. — 254 ἐνι D. ἐνὶ EGH Eust. 1168, 62. — 255 ἔδωκε EG. — 256 ἄμφικεϲ G. νηῒ ACDEGHLS Cant. Mor. Harl. Townl. Vrat. b. olim vulgo νηυϲὶ. — 257 ἀμφι D. κεφαλῆφιν ACEG. ἔθηκε ACDEGH. — 258 ἄλοφον CDE bis GL Et. Mg. 175, 1.
λοφον
Apoll. Lex. 96, 23. ἄφαλον H. καταίτυξ DL. — 259 κάρην GH ex corr. man. rec. — 260 ὀδυϲϲῆϊ DG. — 261 ἀμφι DH. κεφαλῆφιν AEG. ἔθηκε ACDEGH. — 262 πόλεϲι EG. δ' ἔνδοθεν G. — 263 ἔκτοϲθεν G Vrat. b. c. — 264 ἀργειόδοντοϲ C 1. man. ἀγριόδοντοϲ G. — 265 μέϲῃ H. ἐνι DL. πῆλοϲ C. — 266 ῥα C. τὴν ἄρα τ' ἐξ Zonar. Lex. 687. — 268 ϲκανδείᾳ δ' G. τινὰ δὲ τῶν νεωτέρων ἀντιγράφων καὶ οὐ πάνυ ἀκριβῶν Ϲκανδείᾳ γράφουϲιν ἀντὶ τοῦ ἐν Ϲκανδείᾳ Eust. 804, 32. — 269 ξυνήϊον G. — 270 ὃ ACDGHL. — 271 πύκαϲε E. κάρην GH ex corr. man. rec. — 272 τῶι D. ἐνὶ ACGH. ἐνι D.

---

ἄλλωϲ γράφονταϲ, ἐπιδείξαϲ τὸ οἴχωκεν Ἰακόν· οὕτωϲ δὲ καὶ Ἀπολλώνιοϲ ὁ τεχνικὸϲ οἶδε τὴν γραφήν Herodianus. Variant libri inter οἴχωκε et ᾤχωκε Aeschyl. Pers. 13; Soph. Ai. 896; Herod. I, 189; IV, 127, 166; VIII, 72, 108, 126; de scriptura ᾤχηκα nihil est traditum.

A. c. 253 ἀθετεῖται Aristonicus. Ζηνόδοτοϲ οὐδὲ (Cod. δὲ) ἔγραφεν. Ἀριϲτοφάνηϲ ἠθέτει Didymus. — 258 ἄλλοφον: Ἀρίϲταρχοϲ ἄλοφον Didymus. — 266 Ἐλεῶνοϲ: Ἑλεῶνοϲ Ptolem. Ascalonita. ἄλλοι δὲ γράφουϲιν ἐξ Ἑλεῶνοϲ Strabo IX, 439. — 268 Aristarchus Ϲκάνδειανδ' ut Λ 21 πεύθετο γὰρ Κύπρον δέ, conf. Ariston. ad h. l. et Λ 21.

βάν ῥ' ἰέναι, λιπέτην δὲ κατ' αὐτόθι πάντας ἀρίςτους.
τοῖςι δὲ δεξιὸν ἧκεν ἐρῳδιὸν ἐγγὺς ὁδοῖο
Παλλὰς Ἀθηναίη· τοὶ δ' οὐκ ἴδον ὀφθαλμοῖςι
νύκτα δι' ὀρφναίην, ἀλλὰ κλάγξαντος ἄκουςαν.
χαῖρε δὲ τῷ ὄρνιθ' Ὀδυςεύς, ἠρᾶτο δ' Ἀθήνῃ·
κλῦθί μευ αἰγιόχοιο Διὸς τέκος, ἥ τέ μοι αἰεὶ
ἐν πάντεςςι πόνοιςι παρίςταςαι, οὐδέ cε λήθω
κινύμενος· νῦν αὖτε μάλιςτά με φῖλαι Ἀθήνη,
δὸς δὲ πάλιν ἐπὶ νῆας ἐυκλεῖας ἀφικέςθαι,
ῥέξαντας μέγα ἔργον, ὅ κε Τρώεςςι μελήςει.
δεύτερος αὖτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
κέκλυθι νῦν καὶ ἐμεῖο Διὸς τέκος, ἀτρυτώνη·
ςπεῖό μοι, ὡς ὅτε πατρὶ ἅμ' ἕςπεο Τυδέι δίῳ
ἐς Θήβας, ὅτε τε πρὸ Ἀχαιῶν ἄγγελλος ᾔει.
τοὺς δ' ἄρ' ἐπ' Ἀςωπῷ λίπε χαλκοχίτωνας Ἀχαιούς,
αὐτὰρ ὃ μειλίχιον μῦθον φέρε Καδμείοιςι
κεῖς'· ἀτὰρ ἂψ ἀπιὼν μάλα μέρμερα μήςατο ἔργα
ςὺν ςοὶ δῖα θεά, ὅτε οἱ πρόφραςςα παρέςτης.

---

V. l. 273 βᾶν H. παρ' αὐτόθι G. — 274 ἐρωιδϊὸν C. — 275 εἶδον GL. ὀφθαλμοῖςι ACDGH. — 276 διορφναίην D. — 277 ὄρνιθι Eust. 12, 29; 514, 21. τὸ δὲ χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυςςεὺς οἱ μὲν κατ' ἔκθλιψιν γράφουςι χαῖρε δὲ τῷ ὄρνιθ' Ὀδυςεὺς, οἱ δὲ παλαιοὶ ἐντελῶς γράψαντες παράγουςιν αὐτὸ εἰς ἔνδειξιν ςυνιζήςεως δύο βραχειῶν ςυλλαβῶν τῆς θι καὶ τῆς ο εἰς μίαν βραχεῖαν Eust. 805, 18. ὀδυςςεὺς CDG. — 278 κλῦθί μοι CDH Schol. Soph. Ai. 1. κλῦθί μοι (ευ) A. ἥτέ μοι ACHL. ἠτέ μοι D. — 280 κιννύμενος L. νῦν δ' D. φῖλαι A. φίλαι DE Lips. φίλε' CGHL Cant. Mor. Harl. Townl. Vrat. b. c. A. Mosc. 3. τὸ δὲ φίλαι κατὰ πολλὰ τῶν παλαιῶν ἀντιγράφων ὡς ἀπὸ τοῦ φίλημι ῥήματος, πολλὰ μέντοι τῶν ἀντιγράφων ψιλογραφοῦςιν αὐτὸ ἀπὸ τοῦ φίλεε κατὰ ἔκθλιψιν, νῦν αὖτε μάλιςτά με φίλε' Ἀθήνη Eust. 805, 30, conf. ad Ε 117. — 281 ἐϋκλεῖᾶς A. ἐϋκλείας CHL Et. Mg. 392, 20. Zonar. Lex. 908. εὐκλείας DEG. ἐφικέςθαι A. — 382 κεν ACDEGHL. τρώεςςι L. μελήςη C. μελήςει (οι) L. — 284 κλύθι H. ἐμοῖο L Mor. — 286 τε omitt. DGL Lips. ἄγγελος ἦλθε D. — 287 ἂρ DEGL. ἀρ A. ἀςςωπῶ CL. χαλκοχίτωνας A. — 288 ὃ ACDGHL. καδμείοιςι ACGH. — 289 αὐτὰρ DG. ἂψ λιπὼν L. — 290 δία D. ὅτέ οἱ CHL Et. Mg. 691, 41. προφράςα D Townl. Vrat. c.

---

A. c. 273 κατ' αὐτόθι Herodianus, non καταυτόθι vel κάτ' αὐτόθι. — 274 ἐρῳδιὸν Herodianus, conf. H. U. 215. — 275 Παλλὰς: Ζώπυρος δὲ ἀντὶ τοῦ Παλλὰς „πελλὸν“ γράφει. τρία γάρ φηςι γένη ἐρωδιῶν, πελλός, πύγαργος, καὶ τρίτος ὁ ἀφροδίςιος Eust. 804, 62, similia Schol. LV. — 277 ἐκ πλήρους ὄρνιθι Schol. V, conf. H. U. 126. — 278 κλῦθί μοι, conf. ad Ε 115. — 281 ἐϋκλεῖας Aristarchus, conf. H. U. 156.

ὣϲ νῦν μοι ἐθέλουϲα παρίϲταϲο καί με φύλαϲϲε.
ϲοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν εὐρυμέτωπον,
ἀδμήτην, ἣν οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
τήν τοι ἐγὼ ῥέξω, χρυϲὸν κέραϲιν περιχεύαϲ.
ὣϲ ἔφαν εὐχόμενοι, τῶν δ' ἔκλυε Παλλὰϲ Ἀθήνη.
οἳ δ' ἐπεὶ ἠρήϲαντο Διὸϲ κούρῃ μεγάλοιο,
βάν ῥ' ἴμεν ὥϲ τε λέοντε δύω διὰ νύκτα μέλαιναν,
ἂμ φόνον, ἂν νέκυαϲ διά τ' ἔντεα καὶ μέλαν αἷμα.
οὐδὲ μὲν οὐδὲ Τρῶαϲ ἀγήνοραϲ εἴαϲ' Ἕκτωρ
εὕδειν, ἀλλ' ἅμυδιϲ κικλήϲκετο πάνταϲ ἀρίϲτουϲ,
ὅϲϲοι ἔϲαν Τρώων ἡγήτορεϲ ἠδὲ μέδοντεϲ·
τοὺϲ ὅ γε ϲυγκαλέϲαϲ πυκινὴν ἠρτύνετο βουλήν·
τίϲ κέν μοι τόδε ἔργον ὑποϲχόμενοϲ τελέϲειε
δώρῳ ἔπι μεγάλῳ; μιϲθὸϲ δέ οἱ ἄρκιοϲ ἔϲται.
δώϲω γὰρ δίφρόν τε δύω τ' ἐριαύχεναϲ ἵππουϲ,
οἵ κεν ἄριϲτοι ἔωϲι θοῇϲ ἐπὶ νηυϲὶν Ἀχαιῶν,
ὅϲ τίϲ κε τλαίη, οἷ τ' αὐτῷ κῦδοϲ ἄροιτο,
νηῶν ὠκυπόρων ϲχεδὸν ἐλθέμεν ἔκ τε πυθέϲθαι,
ἠὲ φυλάϲϲονται νῆεϲ θοαὶ ὡϲ τὸ πάροϲ περ,
ἢ ἤδη χείρεϲϲιν ὑφ' ἡμετέρῃϲι δαμέντεϲ

---

V. l. 291 ὡϲ A. — 292 δ' ἄρ' ἐγὼ Vrat. b. ἤνιν E. — 293 ἀδμῆτιν L. ἣν ACDGHL Schol. Arat. 132. Apoll. Lex. 9, 20: τὴν S Cant. Schol. B 293, Z 201. οὔ πω: οὔ πώ τιϲ Schol. B 293. οὔπω τιϲ Apoll. Lex. 9, 20. — 294 κέραϲι DGH. περιχεύϲαϲ GH Cant. Townl. — 295 ὡϲ A. — 296 οἳ δ' D. οἵδ' CGL. ἐπεὶ οὖν ἠρήϲαντο L. — 297 βᾶν ῥ' H. — 298 ἀμφόνον ἀννέκυαϲ ACDEH. ἀμφόνον Schol. Θ 441. Cram. An. Par. IV, 8, 28. ἂν φόνον E 810, 11; 860, 50 L. ἀν φόνον G. ἂν νέκυαϲ E 810, 11 L Schol. Θ 441. ἀννέκυάϲ τε G. διά τ': ἀνά τ' Eust. 25, 19; 82, 42. — 299 τρῷαϲ L. εἴαϲ' AD Vrat. b. εἴαϲεν CE bis GHLS. — 300 ἄμυδιϲ G. κικλήιϲκετο A. — 301 ὅϲϲοι ἔαϲι τρώων D. τρῴων L. — 303 τελέϲειε CEGL. τελεέϲϲει Schol. K 204. — 304 ἐπὶ CDEGHL. — 305 γάρ οἱ L. δίφρόν τε C. — 306 ἄριϲτοι ἔωϲι G Barocc. Mor. ἄριϲτοι ἔαϲι L. ἀριϲτεύωϲι ACDHS. ἀριϲτεύουϲιν E 808, 26. ἀριϲτεύωϲιν ἢ ἄριϲτοι ἔωϲι E 806, 19. ἔπι A. — 307 ὅϲ τίϲ C. κε AL: κεν CDEGHS. τλαίῃ AG. οἵ τ' AD. — 308 ὠκυπόρων: ὠκυπόδων L. ἐλθέμεν E 806, 20: ἐλθεῖν E 806, 36; 807, 22. — 309 τοπάροϲ GHL.

---

A. c. 291 Zenodotus et Aristarchus παρίϲταο: alii παρίϲταϲο. με φύλαϲϲε: πόρε κῦδοϲ Zenodotus. — 292 ἦνιν Ptolemaeus Oroandae: ἤνιν Tyrannio. — 398 ἂμ φόνον: δύο μέρη λόγου εἰϲίν· ἀνὰ φόνον γάρ Et. Mg. 93, 27. — 306 οἵ κεν ἄριϲτοι ἔωϲι θοῇϲ ἐπὶ νηυϲὶν Ἀχαιῶν Aristarchus. αὐτοὺϲ οἳ φορέουϲιν ἀμύμονα Πηλείωνα Zenodotus. καλοὺϲ οἳ φορέουϲιν α. Π. Aristophanes. — 307 οἷ Herodianus. — 310—312 asterisci: κακῶϲ 397—399.

φύξιν βουλεύουϲι μετὰ ϲφίϲιν, οὐδ' ἐθέλουϲι
νύκτα φυλαϲϲέμεναι, καμάτῳ ἀδηκότεϲ αἰνῷ.
ὣϲ ἔφαθ', οἳ δ' ἄρα πάντεϲ ἀκὴν ἐγένοντο ϲιωπῇ.
ἦν δέ τιϲ ἐν Τρώεϲϲι Δόλων, Εὐμήδεοϲ υἱόϲ,
κήρυκοϲ θείοιο, πολύχρυϲοϲ, πολύχαλκοϲ·
ὃϲ δή τοι εἶδοϲ μὲν ἔην κακόϲ, ἀλλὰ ποδώκηϲ·
αὐτὰρ ὃ μοῦνοϲ ἔην μετὰ πέντε καϲιγνήτῃϲιν.
ὅϲ ῥα τότε Τρωϲίν τε καὶ Ἕκτορι μῦθον ἔειπεν·
Ἕκτορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸϲ ἀγήνωρ
νηῶν ὠκυπόρων ϲχεδὸν ἐλθέμεν ἔκ τε πυθέϲθαι.
ἀλλ' ἄγε μοι τὸ ϲκῆπτρον ἀνάϲχεο, καί μοι ὄμοϲϲον
ἦ μὲν τοὺϲ ἵππουϲ τε καὶ ἅρματα ποικίλα χαλκῷ
δωϲέμεν, οἳ φορέουϲιν ἀμύμονα Πηλείωνα.
ϲοὶ δ' ἐγὼ οὐχ ἅλιοϲ ϲκοπὸϲ ἔϲϲομαι οὐδ' ἀπὸ δόξηϲ.
τόφρα γὰρ ἐϲ ϲτρατὸν εἶμι διαμπερέϲ, ὄφρ' ἂν ἵκωμαι
νῆ' Ἀγαμεμνονέην, ὅθι που μέλλουϲιν ἄριϲτοι
βουλὰϲ βουλεύειν, ἢ φευγέμεν ἠὲ μάχεϲθαι.
ὣϲ φάθ', ὃ δ' ἐν χερϲὶ ϲκῆπτρον λάβε καί οἱ ὄμοϲϲεν·
ἴϲτω νῦν Ζεὺϲ αὐτόϲ, ἐρίγδουποϲ πόϲιϲ Ἥρηϲ,
μὴ μὲν τοῖϲ ἵπποιϲιν ἀνὴρ ἐποχήϲεται ἄλλοϲ
Τρώων, ἀλλὰ ϲέ φημι διαμπερὲϲ ἀγλαϊεῖϲθαι.
ὣϲ φάτο καί ῥ' ἐπίορκον ἐπώμοϲε, τὸν δ' ὀρόθυνεν.

---

V. L. 311 βουλεύονται G. μετα A. οὐδ' ἐθέλουϲι ACEGH. οὐδὲ θέλουϲιν D Cant. οὐδὲ θέλουϲι S. — 312 ἀδηκότεϲ ACDGH Lips. Townl. Vrat. b. ἀδδηκότεϲ ELS. — 313 ὡϲ A. οἳ δ' L. οἵδ' CG. — 314 τρῴεϲϲι L. — 316 δ' ἤτοι Et. Mg. 484, 43. ποδώκυϲ G. ποδῶκυϲ Barocc. Mor. Cant. ποδώκηϲ (ῦϲ) L. — 317 ὃ ACDGHL. μετα A. καϲιγνήτηιϲι D. — 318 ὃϲ ῥὰ CDL. τρωϲί G. τρῳϲὶν L. — 321 ἀλλά μοι L. ἀλλ' ἄγέ μοι H. ὅμωϲον L. — 322 ἠμὲν DL Schol. A 77. μὴ μὲν τοὺϲ Suidas II, 2, 1181, 2. ἵππουϲ τὲ A. — 323 γράφεται καὶ ποδώκεα καὶ ἀμύμονα A. — 324 οὐχ' E 808, 33. ἔϲομαι G 1. man. Apoll. Lex. 60, 15. ἄπο GS. ἀπο A. — 325 εἲϲ H. — 328 ὡϲ A. ὃϲ L. ἔφαθ' GL. ὅδ' CGL. ὤμοϲϲεν G. — 329 αὐτὸϲ ζεὺϲ D. — 331 τρῴων ἀλλά ϲε φημὶ L. ἀλλὰ ϲέ φημι EH. ἀλλὰ ϲὲ φημὶ ACDG. — 332 ὡϲ A. ἐπίορκον A. ἐπὶ ὅρκον Vrat. b. ἐπεὶ ὅρκον H. ἐπώμοϲε: ἀπώμοϲε CE 806, 36 GLS. ἀπώμοϲϲεν D. ἀπώμοϲε (ἐ) H. γρ. ἐπ C man. rec. ὤμοϲεν Schol. Γ 276. ὀρόθυνε G.

---

A. c. 317 καϲιγνήτῃϲιν Aristarchus: Zenodotus καϲιγνήτοιϲι. — 321 οὕτωϲ ἀνάϲχεο διὰ τοῦ ō αἱ ἀριϲτάρχου Didymus. — 324 ἐν δὲ τῷ οὐχ' ἅλιοϲ ϲκοπὸϲ ἔϲϲομαι γράφουϲιν οἱ περὶ Ἡρόδωρον ὅτι εὕρομεν ἐν πολλοῖϲ εἰϲ τὸ χ̄ ἀπόϲτοφον Eust. 809, 4. — 332 οὕτωϲ διὰ τοῦ ε̄ τὸ ἐπώμοϲεν αἱ ἀριϲτάρχου Didymus.

αὐτίκα δ' ἀμφ' ὤμοιϲιν ἐβάλλετο καμπύλα τόξα,
ἕϲϲατο δ' ἔκτοϲθεν ῥινὸν πολιοῖο λύκοιο,
κρατὶ δ' ἐπὶ κτιδέην κυνέην, ἕλε δ' ὀξὺν ἄκοντα,
βῆ δ' ἰέναι προτὶ νῆαϲ ἀπὸ ϲτρατοῦ. οὐδ' ἄρ' ἔμελλεν
ἐλθὼν ἐκ νηῶν ἂψ Ἕκτορι μῦθον-ἀποίϲειν.
ἀλλ' ὅτε δή ῥ' ἵππων τε καὶ ἀνδρῶν κάλλιφ' ὅμιλον,
βῆ ῥ' ἀν' ὁδὸν μεμαώϲ· τὸν δὲ φράϲατο προϲιόντα
διογενὴϲ Ὀδυϲεύϲ, Διομήδεα δὲ προϲέειπεν·
οὗτόϲ τιϲ Διόμηδεϲ ἀπὸ ϲτρατοῦ ἔρχεται ἀνήρ,
οὐκ οἶδ' ἢ νήεϲϲιν ἐπίϲκοποϲ ἡμετέρηϲιν,
ἤ τινα ϲυλήϲων νεκύων κατατεθνηώτων.
ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο
τυτθόν· ἔπειτα δέ κ' αὐτὸν ἐπαΐξαντεϲ ἕλοιμεν
καρπαλίμωϲ· εἰ δ' ἄμμε παραφθήῃϲι πόδεϲϲιν,
αἰεί μιν ἐπὶ νῆαϲ ἀπὸ ϲτρατόφι προτιειλεῖν,
ἔγχει ἐπαΐϲϲων, μή πωϲ προτὶ ἄϲτυ ἀλύξῃ.

---

V. l. 333 ᾤμοιϲιν C. ὤμοιϲι βάλλετο G. — 334 εἵϲατο Cram. Ep. 162, 18. εἵϲατο id. 382, 7. ἔκτοϲθε DE. ἔκτοϲθι L. — 335 ἐπὶ, κτιδέην AC. ἐπὶ κτιδέην EGS Apoll. Lex. 105, 19. Schol. Nicandr. Ther. 196. ἐπι κτιδέην D. ἐπ' ἰκτιδέην HL Cant. Lips. Harl. Vrat. A. — 336 προτὶ A: ποτὶ CGLS. ποτι D. ἐπὶ H Vrat. c. ἀπο A. ἂρ DGL. ἀρ A. — 338 ῥ' omitt. E. κάλιφ' DG. ὅμιλλον G. — 339 ἂν E. ἀνοδὸν D. τόνδε L. δ' ἐφράϲατο CDGS Harl. Et. Mg. 799, 25. — 340 ὀδυϲϲεὺϲ DG. — 341 οὗτόϲ τοι ACDEGHLS Cram. Epim. 414, 1 et 18. Ammon. de Diff. s. v. οὗτοϲ. Eust. 1409, 29. — 342 ἢ [ει] A. — 343 ἢ τινὰ CDL. κατατεθνηώτων L Lips. 1. man. Vrat. b. 2. man. κατατεθνειώτων ACDE bis GHS. — 344 παρ" εξελθεῖν A. παρὲξ ἐλθεῖν Eust. 810, 42. — 345 δεκαὐτὸν D. ἕλοιμεν [ω] A. — 346 παραφθαίῃϲι AE. παραφθαίηϲι DGH. παραφθάνηϲι L. — 347 ἐπὶ: ποτὶ A. προτὶ CDH. προτὶ ἢ ποτὶ E 810, 18 et 48. ϲτρατόφιν ACDEH LS. ϲτρατόϲφιν G. προτιειλεῖν ACDEGL. ποτιειλεῖν HS. — 348 ἔγχεϊ AG. ἐπ' ἀΐϲϲων L. προτὶ ACDEHL: ποτὶ GS. ἀλίξῃ G.

---

A. c. 334 πολιοῖο: οὐκ ἀγνοοῦμεν τὴν ἀκριβῆ γραφήν „πελιοῖο" Cram. Epim. 344, 4. conf. Et. Mg. 680, 21 πολιοὶ λύκοι: γράφονται καὶ πελειοί (sic), πυῤῥοὶ ἢ μέλανεϲ· ὡϲ παρὰ τῷ ποιητῇ Ἰλιάδοϲ Κ (334) „ῥινὸν πολιοῖο λύκοιο". — 335 ἐπὶ: ἔπι Ptolem. Ascalonita. κτιδέην Aristarchus, non ἰκτιδέην. — 341 ἀρίϲταρχοϲ οὗτόϲ τιϲ. ὡμολόγουν καὶ αἱ πλείουϲ Didymus, conf. Schol. Κ 477. — 343 ἀρίϲταρχοϲ [κατα]τεθνηώτων Didymus. asteriscus: οὐκ ὀρθῶϲ 387. — 346 οὕτωϲ ϲχεδὸν αἱ πᾶϲαι Didymus. in codice lemma non est, sed pertinere videtur ad παραφθαίῃϲι, cui iota adscriptum non debetur. quod si coniunctivus est, scribendum est παραφθήῃϲι, ita Thiersch. Gr. § 223 e. — 347 ἀρίϲταρχοϲ ἐπινῆαϲ Didymus.

ὣϲ ἄρα φωνήϲαντε παρὲξ ὁδοῦ ἐν νεκύεϲϲι
κλινθήτην· ὃ δ' ἄρ' ὦκα παρέδραμεν ἀφραδίῃϲιν.
ἀλλ' ὅτε δή ῥ' ἀπέην ὅϲϲόν τ' ἐπὶ οὖρα πέλονται
ἡμιόνων, αἳ γάρ τε βοῶν προφερέϲτεραί εἰϲιν
ἑλκέμεναι νειοῖο βαθείηϲ πηκτὸν ἄροτρον,
τὼ μὲν ἐπεδραμέτην, ὃ δ' ἄρ' ἔϲτη δοῦπον ἀκούϲαϲ·
ἔλπετο γὰρ κατὰ θυμὸν ἀποϲτρέψονταϲ ἑταίρουϲ
ἐκ Τρώων ἰέναι, πάλιν Ἕκτοροϲ ὀτρύναντοϲ.
ἀλλ' ὅτε δή ῥ' ἄπεϲαν δουρηνεκὲϲ ἢ καὶ ἔλαϲϲον,
γνῶ ῥ' ἄνδραϲ δηίουϲ, λαιψηρὰ δὲ γούνατ' ἐνώμα
φευγέμεναι· τοὶ δ' αἶψα διώκειν ὁρμήθηϲαν.
ὡϲ δ' ὅτε καρχαρόδοντε δύω κύνε, εἰδότε θήρηϲ,
ἢ κεμάδ' ἠὲ λαγωὸν ἐπείγετον ἐμμενὲϲ αἰεὶ
χῶρον ἀν' ὑλήενθ', ὃ δέ τε προθέῃϲι μεμηκώϲ,
ὣϲ τὸν Τυδείδηϲ ἠδ' ὁ πτολίπορθοϲ Ὀδυϲϲεὺϲ
λαοῦ ἀποτμήξαντε διώκετον ἐμμενὲϲ αἰεί.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε μιγήϲεϲθαι φυλάκεϲϲι
φεύγων ἐϲ νῆαϲ, τότε δὴ μένοϲ ἔμβαλ' Ἀθήνη
Τυδείδῃ, ἵνα μή τιϲ Ἀχαιῶν χαλκοχιτώνων
φθαίη ἐπευξάμενοϲ βαλέειν, ὃ δὲ δεύτεροϲ ἔλθοι.

---

V. l. 349 ώϲ A. παρ˝ ἐξ A. πάρεξ CGL Et. Gud. 374, 13. παρεξ D. νεκύεϲϲι ACDGH. — 350 δδ' CGL. ἆρ ACDEG. — 351 ὅϲϲόν τ' C Et. Mg. 642, 36. ὅϲον τ' DG. ἐπὶ, οὖρα A. ἐπὶ οὖρα E 811, 6. ἐπιοὖρα D 1. man. ἐπίουρα CD 2. man. GHLS Et. Mg. 642, 36. Schol. θ 124. οὖρα ἢ προπαροξυτόνωϲ ἐπίουρα Eust. 811, 10. πέλονται: φέρονται C. — 352 αἳ ACDEGL. — 354 ἐπεδραμέτην CE bis: ἐπιδραμέτην ADGHLS Apoll. Lex. 72, 31, conf. Ψ 418, 433, 447. δδ' D. ὅδ' CGHS. ἆρ ADGL. — 355 κατα D. ἀποϲτρέψανταϲ G. — 356 τρῴων L. — 358 ῥ' omitt. G. γνῶ δ' ἄρα δηΐουϲ S. λαιψηρά τε G Barocc. αἰψηρὰ δὲ Apoll. Lex. 17, 19. — 359 αἶψα: γρ. καὶ ὦκα A. ὁρμήθηϲαν AH: ὡρμήθηϲαν CDEGLS. — 360 καρχαρόδοντε A. κύνεϲ D. κύνε, οἵ τ' ἐπὶ θήρηϲ Pseudoplut. 123, 19. — 362 ἀνυλήενθ' D. μεμηλώϲ Vrat. c. Mosc. 3. μεμυκώϲ Mor. — 363 ὡϲ A. ἠδ' ὁ ACDH Cant. Harl. Lips. Vrat. b. Δ: ἠδὲ GL, conf. B 278. — 365 μιγήϲαϲθαι G. φυλάκεϲϲι ACDGH. — 366 ἔβαλ' S. — 367 χαλκοχιτώνων A. — 368 φθαίῃ ADG. δ δὲ C. ἔλθοι DGH Cant. Barocc. Mor. ἔλθῃ ACE bis LS.

---

A. c. 349 ὣϲ ἄρα φωνήϲαντε παρέξ Aristarchus. ἐν μέντοι τῇ Ἀριϲτοφάνουϲ καὶ ἄλλαιϲ ἑτέρωϲ ἐφέρετο· „ὥϲ ἔφατ', οὐδ' ἀπίθηϲε βοὴν ἀγαθὸϲ Διομήδηϲ· ἐλθόντεϲ δ' ἑκάτερθε παρὲξ ὁδοῦ ἐν νεκύεϲϲι κλινθήτην Didymus. — 354 ἀρίϲταρχοϲ ἐπεδραμέτην Didymus. — 359 τὸ ὁρμήθηϲαν Ἰακῶϲ Didymus. — 362 ὁ τε ϲύνδεϲμοϲ οὐκ ἦν ἐν ταῖϲ ἀριϲτάρχου Didymus. scripsit igitur Aristarchus ὑλήεντα, ὃ δὲ προθέῃϲι.

δουρὶ δ' ἐπαΐϲϲων προϲέφη κρατερὸϲ Διομήδηϲ·
ἠὲ μέν', ἠέ ϲε δουρὶ κιχήϲομαι, οὐδέ ϲέ φημι
δηρὸν ἐμῆϲ ἀπὸ χειρὸϲ ἀλύξειν αἰπὺν ὄλεθρον.
ἦ ῥα, καὶ ἔγχοϲ ἀφῆκεν, ἑκὼν δ' ἡμάρτανε φωτόϲ.
δεξιτερὸν δ' ὑπὲρ ὦμον ἐύξου δουρὸϲ ἀκωκὴ
ἐν γαίῃ ἐπάγη· ὃ δ' ἄρ' ἔϲτη τάρβηϲέν τε
βαμβαίνων, ἄραβοϲ δὲ διὰ ϲτόμα γίγνετ' ὀδόντων,
χλωρὸϲ ὑπὸ δείουϲ. τὼ δ' ἀϲθμαίνοντε κιχήτην,
χειρῶν δ' ἁψάϲθην· ὃ δὲ δακρύϲαϲ ἔποϲ ηὔδα·
ζωγρεῖτ', αὐτὰρ ἐγὼν ἐμὲ λύϲομαι· ἔϲτι γὰρ ἔνδον
χαλκόϲ τε χρυϲόϲ τε πολύκμητόϲ τε ϲίδηροϲ,
τῶν κ' ὔμμιν χαρίϲαιτο πατὴρ ἀπερείϲι' ἄποινα,
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ' ἐπὶ νηυϲὶν Ἀχαιῶν.
τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη πολύμητιϲ Ὀδυϲϲεύϲ·
θάρϲει, μηδέ τί τοι θάνατοϲ καταθύμιοϲ ἔϲτω·
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέωϲ κατάλεξον·
πῇ δὴ οὕτωϲ ἐπὶ νῆαϲ ἀπὸ ϲτρατοῦ ἔρχεαι οἶοϲ
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουϲι βροτοὶ ἄλλοι;
ἤ τινα ϲυλήϲων νεκύων κατατεθνηώτων;
ἦ ϲ' Ἕκτωρ προέηκε διαϲκοπιᾶϲθαι ἕκαϲτα
νῆαϲ ἔπι γλαφυράϲ; ἦ ϲ' αὐτὸν θυμὸϲ ἀνῆκε;
τὸν δ' ἠμείβετ' ἔπειτα Δόλων, ὑπὸ δ' ἔτρεμε γυῖα·

V. l. 370 ἤ μένε G. οὐ δέ ϲε φημὶ ACGHL. οὐδέ ε φημὶ D. — 371 ἀπὸ[υ] A. — 372 ἦ ῥὰ CDHL. ἀφῆκεν[ε] A. — 373 ἐΰξου AGS Cant. Vrat. b. εὔξου Et. Mg. 394, 44. ἐϋξόου CDEHL Schol. K 357. — 374 ὅδ' CGHL. ὁδὰρ D. ἂρ EGL. ἀρ A. — 375 γίνετ' ACDEGHL Et. Mg. 187, 30. — 376 * ὑπὸ: ὑπαὶ ACEGHL. ὑπ' αἰδείουϲ D. — 377 ἁψάϲθην omnes, non ἡψάϲθην, conf. B 171, O 127, Ψ 666. ὅ L. ηὖδα D. — 379 πολύκμητόϲ A. — 380 χ' ὔμμιν DG Mor. Townl. Vrat. b. χ' ὑμῖν H. ὧν ὑμῖν E. — 383 μηδέ τι τοι ACDG. μὴ δέ τι τοι HL. ϲοι E. — 384 κατάλεξον: γρ. ἀγόρευϲον L. — 385 πῇ AEH: ceteri πη. ποῖ Harl. γρ. ποῖ C. τίφθ' S Cant. γρ. ποῦ A. δὴ Eust. 810, 30: ceteri δ'. — 386 διορφναίην D. γρ. ἀμβροϲίην Vrat. b. ὅτε γ' G. ὅτε Lips. omisso θ'. — 387 ἦ L: ceteri ἤ. ἢ τινὰ D. κατατεθνειώτων DS. κατατεθνειότων G. κατατεθνηώτων[ει] H. — 388 ἦ: libri ἤ. ἢ ϲ' D. — 389 νῆαϲ ἀνα D. ἐπι A. ἐπὶ CGHL. * ἦ ϲ': ἤ ϲ' ACH. ἢ ϲὲ αὐτὸν E. ἢ ϲαυτὸν DGL. θυμὸν ἀνώγει L. ἀνῆκε ACGH. — 390 ὕπο ACL. δὲ τρέμε Schol. H 216.

A. c. 373 ἐύξου: ἐϋξοῦ Ptolem. Ascalonita. — 376 ὑπὸ, conf. H. U. 47, Ε 817, N 224, O 4, ε 52, ι 236, 396. — 387 ὅτι ἐκ τῶν ἐπάνω (343) μετάκειται Aristonicus. ἠθέτει καὶ Ἀριϲτοφάνηϲ Didymus. οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ κατατεθνειώτων Didymus.

πολλῇϲίν μ' ἄτῃϲι παρὲκ νόον ἤγαγεν Ἕκτωρ,
ὅϲ μοι Πηλείωνοϲ ἀγαυοῦ μώνυχαϲ ἵππουϲ
δωϲέμεναι κατένευϲε καὶ ἅρματα ποικίλα χαλκῷ·
ἠνώγει δέ μ' ἰόντα θοὴν διὰ νύκτα μέλαιναν
ἀνδρῶν δυϲμενέων ϲχεδὸν ἐλθέμεν, ἔκ τε πυθέϲθαι,
ἠὲ φυλάϲϲονται νῆεϲ θοαὶ ὡϲ τὸ πάροϲ περ,
ἦ ἤδη χείρεϲϲιν ὑφ' ἡμετέρῃϲι δαμέντεϲ
φύξιν βουλεύουϲι μετὰ ϲφίϲιν, οὐδ' ἐθέλουϲι
νύκτα φυλαϲϲέμεναι καμάτῳ ἀδηκότεϲ αἰνῷ.
τὸν δ' ἐπιμειδήϲαϲ προϲέφη πολύμητιϲ Ὀδυϲϲεύϲ·
ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμόϲ,
ἵππων Αἰακίδαο δαΐφρονοϲ· οἳ δ' ἀλεγεινοὶ
ἀνδράϲι γε θνητοῖϲι δαμήμεναι ἠδ' ὀχέεϲθαι,
ἄλλῳ γ' ἢ Ἀχιλῆι, τὸν ἀθανάτη τέκε μήτηρ.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέωϲ κατάλεξον·
ποῦ νῦν δεῦρο κιὼν λίπεϲ Ἕκτορα, ποιμένα λαῶν;
ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήια, ποῦ δέ οἱ ἵπποι;
πῶϲ δαὶ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί;

---

V. l. 391 πολλῇϲί E. ἄτηιϲιν D. παρεκνόον ACD post ras. HL. — 392 πηλείονοϲ G. — 393 χαλκῷ omitt. H. — 398 βουλεύουϲι GL Mor. Harl. γρ. βουλεύουϲι C man. rec. βουλεύοιτε ACDH. ἐθέλουϲι G Mor. Harl. ἐθέλουϲιν L. γρ. οὐδ' ἐθέλουϲι C man. rec. ἐθέλοιτε ACDH. ἐν ἄλλῳ φύξιν βουλεύουϲι μετὰ ϲφίϲιν οὐδ' ἐθέλουϲι A. — 399 ἀδηκότεϲ A. ἀδδηκότεϲ LS. vulgo ἀδηκότεϲ cum CDGH Lips. Townl. Vrat. b. — 400 δ' omitt. L — 402 οἳ δ' D. οἵδ' CGHL. — 404 ἄλλῳ ἢ DG. ἀχιλλῆϊ G. ὃν E. — 408 πῶϲ δαὶ AHL Apoll. de Synt. 6, 9; 77, 9. Ammon. de Diff. s. v. δαί. Bekk. Anecd. 971, 11; 1178. Apoll. Lex. 56, 27. Et. Gud. 132, 47. πῶϲ δὲ DG Cram. Anecd. Par. III, 13, 17; 284, 28. πῶϲ δέ τε H suprascr. πῶϲ δ' αἱ CE.

---

A. c. 391 ἀριϲτοφάνηϲ ἤπαφεν ἕκτωρ Didymus. — 397—399 παρὰ Ἀριϲτοφάνει ἠθετοῦντο, ἐν δὲ ταῖϲ Ἀριϲτάρχου ἐγέγραπτο εἰ ἤδη Didymus. οὕτωϲ γραπτέον βουλεύουϲι καὶ [ἐ]θέλουϲι, τὸ γὰρ ϲφίϲιν ἐν τῷ περί τινών ἐϲτι λόγῳ, ἀντὶ τοῦ αὐτοῖϲ, ᾧ ἀκόλουθα δεῖ εἶναι τὰ ῥήματα Aristonicus. τῶν παρακειμένων ὀβελῶν οὐκ ἔϲτιν αἰτίαν εὑρεῖν διὰ τῶν Ἀριϲταρχείων ὑπομνημάτων. Ἀμμώνιοϲ δὲ ὁ Ἀριϲτάρχειοϲ πρῶτον μὲν ϲτιγμαῖϲ φηϲὶ τὸν Ἀρίϲταρχον παραϲημειώϲαϲθαι, εἶτα δὲ καὶ τέλειον ἐξελεῖν, τάχα διὰ τὸ ἐπὶ δευτέρου προϲώπου τὸ ϲφίϲι τετάχθαι καὶ ἄνωθεν (310–312) μετενηνέχθαι Schol. A. haec primo adspectu inter se videntur pugnare, cuius discrepantiae causam fuisse puto diversitatem utriusque recensionis Aristarchi, qui in posteriore hos versus damnavit, in priore βουλεύουϲι et ἐθέλουϲι scripsit, eosque punctis notavit, quibus ostenderet, se dubitare an genuini essent. — 408 δαὶ Aristarchus, conf. H. T. 220. ὅτι ϲύνδεϲμοϲ ὁ καὶ (with δ written above) (sic) καὶ οὐκ ἄρθρον Aristonicus.

ἅϲϲά τε μητιόωϲι μετὰ ϲφίϲιν, ἢ μεμάαϲιν
αὖθι μένειν παρὰ νηυϲὶν ἀπόπροθεν, ἦε πόλιν δὲ
ἂψ ἀναχωρήϲουϲιν, ἐπεὶ δαμάϲαντό γ' Ἀχαιούϲ.
τὸν δ' αὖτε προϲέειπε Δόλων, Εὐμήδεοϲ υἱόϲ·
τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέωϲ καταλέξω.
Ἕκτωρ μὲν μετὰ τοῖϲιν, ὅϲοι βουληφόροι εἰϲί,
βουλὰϲ βουλεύει θείου παρὰ ϲήματι Ἴλου,
νόϲφιν ἀπὸ φλοίϲβου· φυλακὰϲ δ', ἃϲ εἴρεαι, ἥρωϲ,
οὔ τιϲ κεκριμένη ῥύεται ϲτρατὸν οὐδὲ φυλάϲϲει.
ὅϲϲαι γὰρ Τρώων πυρὸϲ ἐϲχάραι, οἷϲιν ἀνάγκη,
οἳ δ' ἐγρηγόρθαϲι φυλαϲϲέμεναί τε κέλονται
ἀλλήλοιϲ. ἀτὰρ αὖτε πολύκλητοι ἐπίκουροι
εὕδουϲι· Τρωϲὶν γὰρ ἐπιτραπέουϲι φυλάϲϲειν·
οὐ γάρ ϲφιν παῖδεϲ ϲχεδὸν εἵαται οὐδὲ γυναῖκεϲ.
τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη πολύμητιϲ Ὀδυϲϲεύϲ·
πῶϲ γὰρ νῦν Τρώεϲϲι μεμιγμένοι ἱπποδάμοιϲιν
εὕδουϲ', ἦ ἀπάνευθε; δίειπέ μοι, ὄφρα δαείω.
τὸν δ' ἠμείβετ' ἔπειτα Δόλων, Εὐμήδεοϲ υἱόϲ·
τοιγὰρ ἐγὼ καὶ ταῦτα μάλ' ἀτρεκέωϲ καταλέξω.
πρὸϲ μὲν ἁλὸϲ Κᾶρεϲ καὶ Παίονεϲ ἀγκυλότοξοι
καὶ Λέλεγεϲ καὶ Καύκωνεϲ δῖοί τε Πελαϲγοί.
πρὸϲ Θύμβρηϲ δ' ἔλαχον Λύκιοι Μυϲοί τ' ἀγέρωχοι
καὶ Φρύγεϲ ἱππόμαχοι καὶ Μῄονεϲ ἱπποκορυϲταί.

---

V. l. 409 ἅϲϲά τε ACDHL. ἅϲϲά τε Et. Mg. 167, 36. ἅϲϲα τε Eust. 813, 36. μετα D. μεμάαϲι D. — 410 πόλιν δὲ AD. — 413 τοὶ γὰρ ACGH. ἐγὼ ϲοὶ L. ἐγώ ϲοι Harl. ἐγὼ δὴ G. καταλέξω: ἀγορεύϲω D Townl. — 414 εἰϲὶ DG. — 415 ϲήματι: ϲήματοϲ Schol. Λ 166. — 416 ἀπο A. ἤρεαι G. — 418 ὅϲϲαι μὲν CGHL Barocc. Mor. Cant. Harl. Lips. Vrat. A. ὅϲ-
γὰρ μὲν
ϲαι γὰρ DE bis. Zonar. Lex. 880. μὲν A. γὰρ S. τρῴων L. — 419 οἶδ' C. οἵ γ' G Barocc. οἵ τ' L Vrat. b. — 420 πολύκλητοί τ' ἐπίκουροι AGHS Cant. Mor. Harl. — 421 εὕδουϲιν ADH. τρωϲὶ DEG. τρῳϲὶ L. — 422 ϲφι DG. εἵαται D. — 423 προϲέβη L. πολύμητιϲ A. — 424 γὰρ δὴ H
νῦν
Harl. γὰρ δὴ A. τ' ἄρ νῦν Lips. Mosc. 3. τρῴεϲϲι L. ἱπποδάμοιϲι D. — 425 εὕδουϲιν G. ἢ A: ceteri ἤ. — 427 τοὶ γὰρ DGH Barocc. ἐγώ τοι AHS Barocc. ἐγὼ δὴ G. ἀτρακέωϲ G. ἀγορεύϲω D. — 428 ἀργυρότοξοι Cram. An. Ox. II, 458, 12. — 430 μυϲϲοί D. — 431 ἱππόμαχοι L: ceteri ἱππόδαμοι. μηϊόνεϲ DH.

---

A. c. 409—411 ἀθετοῦνται Aristonicus. asterisci: ὀρθῶϲ 208—210. — 413 οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ ἀγορεύϲω Didymus. — 424 νῦν Nicanor. — 425 ἢ Herodianus. — 427 καὶ ταῦτα Schol. BL. — 431 ἀρίϲταρχοϲ ἱππόμαχοι Didymus.

ἀλλὰ τί ἢ ἐμὲ ταῦτα διεξερέεσθε ἕκαστα;
εἰ γὰρ δὴ μέματον Τρώων καταδῦναι ὅμιλον,
Θρήικες οἵδ' ἀπάνευθε νεήλυδες, ἔσχατοι ἄλλων·
ἐν δέ σφιν Ῥῆσος βασιλεύς, πάις Ἠϊονῆος.
τοῦ δὴ καλλίστους ἵππους ἴδον ἠδὲ μεγίστους·
λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.
ἅρμα δέ οἱ χρυσῷ τε καὶ ἀργύρῳ εὖ ἤσκηται·
τεύχεα δὲ χρύσεια πελώρια, θαῦμα ἰδέσθαι,
ἤλυθ' ἔχων· τὰ μὲν οὔ τι καταθνητοῖσιν ἔοικεν
ἄνδρεσσιν φορέειν, ἀλλ' ἀθανάτοισι θεοῖσιν.
ἀλλ' ἐμὲ μὲν νῦν νηυσὶ πελάσσετον ὠκυπόροισιν,
ἠέ με δήσαντες λίπετ' αὐτόθι νηλέι δεσμῷ,
ὄφρά κεν ἔλθητον καὶ πειρηθῆτον ἐμεῖο,
ἠὲ κατ' αἶσαν ἔειπον ἐν ὑμῖν, ἦε καὶ οὐκί.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
μὴ δή μοι φύξιν γε Δόλων ἐμβάλλεο θυμῷ,
ἐσθλά περ ἀγγείλας, ἐπεὶ ἵκεο χεῖρας ἐς ἁμάς.
εἰ μὲν γάρ κέ σε νῦν ἀπολύσομεν ἠὲ μεθῶμεν,
ἦ τε καὶ ὕστερον εἶσθα θοὰς ἐπὶ νῆας Ἀχαιῶν
ἠὲ διοπτεύσων ἢ ἐναντίβιον πολεμίξων·
εἰ δέ κ' ἐμῇς ὑπὸ χερσὶ δαμεὶς ἀπὸ θυμὸν ὀλέσσῃς,

V. l. 432 τί ἢ Et. Mg. 415, 20. τί ἤ με Schol. A 219. τίη γέ με G. τίη μεῦ H. τίη μὲ διεξερέεσθαι ταῦτα ἕκαστα Mor. Barocc. διεξερέεσθαι Apoll. Lex. 82, 2. παρεξερέεσθαι Schol. A 219. Et. Mg. 415, 20. — 433 τρῴων L. — 434 οἱδ' A. νεήλιδες L. — 435 σφι D Schol. Eurip. Rhes. 393. πάις E: παῖς ACDGHLS. — 437 ὅμοιοι G. — 438 ἅρματα δὲ χρυσῷ HL Lips. τὲ A. — 440 κατὰ θνητοῖσιν AEHL. — 441 ἄνδρεσσι DEGH. — 442 μὲν omitt. Lips. Mosc. 3. νῦν omitt. Cant. ἐμὲ μὲν νηυσὶν πελλάσσετον Vrat. A. πελάσσατον Mosc. 3. ὠκυπόροισι D. — 443 ἠέ, με A. ἢ ἐμὲ D ex corr. H. — 444 ὄφρά κεν ACH. πειραθῆτον H. ἐμοῖο S. — 445 ἤ ῥα AGS Cant. Mor. Harl. Lips. Townl. Vrat. b. A. ἤ ῥὰ C. ἦ ῥὰ H. ἡ ῥα D. ἠὲ EL. οὐκί: οὐχὶ G. — 446 ἆρ DG. ἀρ A. — 447 φύξίν γε A. — 448 ἁμάς C: ἀμὰς ADE 819, 19 ἐμὰς GHL (om. ἐς) Townl. in ras. χεῖρας ἐμεῖο ἢ μᾶλλον χεῖρας ἐς ἀμὰς Eust. 817, 36. — 449 καί σε CD. ἀπολύσομαι ἠὲ μεθῶμαι G. ἀπολύσομαι Barocc. — 450 εἴ τε Apoll. Lex. 64, 33. ἤτε D. ἦσθα H 1. man. L. γρ. ἤισθα H. — 451 διοπτεύσων (superscr. ειν) S. διοπτεύσειν Vrat. b. 1. man. ἀντίβιον E. πτολεμίξων D. πτολεμίξων (superscr. ειν) S. πτολεμίζων H. πολεμίζειν L. πολεμίξων ACEG Cant. Harl. Vrat. A. — 452 ὕπο A. δαμεὶς ACDEGHLS. τυπεὶς A sup. γρ. τυπεὶς Vrat. b. ἄπο CDH. ὀλέσσας (superscr. η) H.

A. c. 445 ἀρίσταρχος ἠὲ κατ' αἶσαν Didymus. οὐκί, non οὐχί, Aristarchus conf. H. T. 328. — 449 ἀπολύσομεν Schol. V. μεθῶμεν, conf. B 299 δαῶμεν, X 381 πειρηθῶμεν. — 452 ἀρίσταρχος ὀλέσσαις Didymus.

οὐκέτ᾽ ἔπειτα cὺ πῆμά ποτ᾽ ἔccεαι Ἀργείοιcιν.
    ἦ, καὶ ὃ μέν μιν ἔμελλε γενείου χειρὶ παχείῃ
ἁψάμενοc λίccεcθαι, ὃ δ᾽ αὐχένα μέccον ἔλαccε
φαcγάνῳ ἀΐξαc, ἀπὸ δ᾽ ἄμφω κέρcε τένοντε·
φθεγγομένου δ᾽ ἄρα τοῦ γε κάρη κονίῃcιν ἐμίχθη.
τοῦ δ᾽ ἀπὸ μὲν κτιδέην κυνέην κεφαλῆφιν ἕλοντο
καὶ λυκέην καὶ τόξα παλίντονα καὶ δόρυ μακρόν·
καὶ τά γ᾽ Ἀθηναίῃ ληΐτιδι δῖοc Ὀδυccεὺc
ὑψόc᾽ ἀνέcχεθε χειρὶ καὶ εὐχόμενοc ἔποc ηὔδα·
    χαῖρε θεὰ τοῖcδεccι· cὲ γὰρ πρώτην ἐν Ὀλύμπῳ
πάντων ἀθανάτων ἐπιβωcόμεθ᾽· ἀλλὰ καὶ αὖτιc
πέμψον ἐπὶ Θρῃκῶν ἀνδρῶν ἵππουc τε καὶ εὐνάc.
    ὣc ἄρ᾽ ἐφώνηcεν, καὶ ἀπὸ ἕθεν ὑψόc᾽ ἀείραc
θῆκεν ἀνὰ μυρίκην· δέελον δ᾽ ἐπὶ cῆμά τ᾽ ἔθηκε,
cυμμάρψαc δόνακαc μυρίκηc τ᾽ ἐριθηλέαc ὄζουc,
μὴ λάθοι αὖτιc ἰόντε θοὴν διὰ νύκτα μέλαιναν.
τὼ δὲ βάτην προτέρω διά τ᾽ ἔντεα καὶ μέλαν αἷμα,
αἶψα δ᾽ ἐπὶ Θρῃκῶν ἀνδρῶν τέλοc ἷξον ἰόντεc.
οἳ δ᾽ εὗδον καμάτῳ ἀδηκότεc, ἔντεα δέ cφι
καλὰ παρ᾽ αὐτοῖcι χθονὶ κέκλιτο, εὖ κατὰ κόcμον,

V. L. 454 ὃ μέν μοι L. — 455 ὅδ᾽ CGHL. ἔλαccε ACEG. — 456 ἀπο D. — 457 φθεγγομέν[η]||| H. φθεγγομένη Aristoteles de Part. animal. III, 10. γράφεται φθεγγομένη Eust. 818, 4. Schol. L. τοῦδε Macrob. Sat. V, 13, 2. — 458 κεφαλῆφιν CEG. — 459 λυκίην G. — 460 τάδ᾽ L. — 461 ὑψόθ᾽ H. ἀνέcχε S. — 462 τοῖcδεccι ACDEL. τοῖcδέccι H. τοῖcδεcι Bekk. Anecd. 863, 1. τοῖc, δή γε cὲ G. — 463 ἐπιβωcόμεθ᾽ ADHL. ἐπιβωcόμεθα E 818, 15 et 44 G. ἐπι[δ]βωcόμεθ᾽ S. ἐπιδωcόμεθ᾽ [βω] C, add. βω man. rec. ἐπιδωcόμεθ᾽ Ven. B Lips. 1. man. αὖθϊc C. — 464 θρηΐκῶν H. ἵππουc τε: ἐν ἄλλῳ ἄγυρίν τε A. τὲ H. — 465 ὡc A. ἆρ G. ἀπο A. — 466 ἀνα D. δῆλον Cant. ἐπι A. cῆμ᾽ ἔθηκεν L. ἔθηκε ACDEH. ἔχευαν Bekk. An. 797, 12. — 468 αὖθϊc C. — 470 θρηΐκῶν H. ἷξον CEHL Et. Mg. 750, 38. Apoll. Lex. 151, 2: ἴξον A. ἵξον D Et. Gud. 524, 47. ἦξαν G. ἷξαν Cant. — 471 οἳ δ᾽ D. οἵδ᾽ CGHL. ἀδηκότεc ACDGH Barocc. Townl. Vrat. b. ἀδδηκότεc ELS. cφι CDG Schol. K 153. — 472 αὐτοῖcιν E.

A. c. 457 φθεγγομένου, conf. H. T. 28. — 463 ἀρίcταρχοc ἐπιδωcόμεθα, ἵν᾽ ἢ δώροιc τιμήcομεν Didymus. ἐπιβωcόμεθα, εἰc βοήθειαν ἐπικαλεcόμεθα. γράφεται καὶ ἐπιδωcόμεθα, ἵν᾽ ἢ δώροιc τιμήcομεν Et. Mg. 357, 52, conf. Apoll. Lex. 73, 1 et 2. βώcομαι est forma Ionica, qua Herodotus saepissime, Homerus α 378, β 143 usus est. — 465 διήλλαττον αἱ ἀριcτάρχου ὑψόcε καὶ ὑψοῦ Didymus. — 466 cὺν τῷ ν̄ μυρίκην Didymus. δέελον Aristarchus.

τριϲτοιχί· παρὰ δέ ϲφιν ἑκάϲτῳ δίζυγες ἵπποι.
Ῥῆϲοϲ δ' ἐν μέϲῳ εὗδε, παρ' αὐτῷ δ' ὠκέεϲ ἵπποι
ἐξ ἐπιδιφριάδοϲ πυμάτηϲ ἱμᾶϲι δέδεντο.
τὸν δ' Ὀδυϲεὺϲ προπάροιθεν ἰδὼν Διομήδεϊ δεῖξεν·
οὗτόϲ τοι Διόμηδεϲ ἀνήρ, οὗτοι δέ τοι ἵπποι,
οὓϲ νῶιν πίφαυϲκε Δόλων, ὃν ἐπέφνομεν ἡμεῖϲ.
ἀλλ' ἄγε δὴ πρόφερε κρατερὸν μένοϲ· οὐδέ τί ϲε χρὴ
ἑϲτάμεναι μέλεον ϲὺν τεύχεϲιν, ἀλλὰ λύ' ἵππουϲ·
ἠὲ ϲύ γ' ἄνδραϲ ἔναιρε, μελήϲουϲιν δ' ἐμοὶ ἵπποι.
ὣϲ φάτο, τῷ δ' ἔμπνευϲε μένοϲ γλαυκῶπιϲ Ἀθήνη,
κτεῖνε δ' ἐπιϲτροφάδην, τῶν δὲ ϲτόνοϲ ὤρνυτ' ἀεικὴϲ
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι γαῖα.
ὡϲ δὲ λέων μήλοιϲιν ἀϲημάντοιϲιν ἐπελθών,
αἴγεϲιν ἢ ὀίεϲϲι, κακὰ φρονέων ἐνορούϲῃ,
ὣϲ μὲν Θρήικαϲ ἄνδραϲ ἐπῴχετο Τυδέοϲ υἱόϲ,
ὄφρα δυώδεκ' ἔπεφνεν. ἀτὰρ πολύμητιϲ Ὀδυϲϲεύϲ,
ὅν τινα Τυδείδηϲ ἄορι πλήξειε παραϲτάϲ,
τὸν δ' Ὀδυϲεὺϲ μετόπιϲθε λαβὼν ποδὸϲ ἐξερύϲαϲκε,
τὰ φρονέων κατὰ θυμόν, ὅπωϲ καλλίτριχεϲ ἵπποι
ῥεῖα διέλθοιεν μηδὲ τρομεοίατο θυμῷ
νεκροῖϲ ἀμβαίνοντεϲ· ἀήθεϲϲον γὰρ ἔτ' αὐτῶν.
ἀλλ' ὅτε δὴ βαϲιλῆα κιχήϲατο Τυδέοϲ υἱόϲ,
τὸν τρειϲκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα

---

V. l. 473 τριϲτοιχί DL Vrat. b. τριϲτοιχεί ACEGH. τριϲτοιχί[ει] S. παρα D. — 474 μέϲϲῳ εὕδεϲκε G Mor. — 475 ἐξ επιδιφριάδοϲ A. — 476 τοὺϲ[ον] S. τοὺϲ Cant. ὀδυϲϲεὺϲ DGH 1. man. ἰδὼν προπάροιθεν G. διομήδεά A. — 478 νῶϊ DE Schol. Κ 447. πίφαϲκε GH Vrat. b. πέφνομεν S. — 479 οὐδέ τι ϲε ACDGHL. χρὴ omitt. H. — 480 ϲυν AD. — 481 ἠὲ ϲὺ δ' L. ἢ ϲύγε E bis. μελήϲουϲι CDEG. δ' ἐμοὶ A Harl. δέ μοι CDEGHLS, conf. Ε 228. — 482 ὥϲ A. — 484 ἐρυθαίνετο: φοινίϲϲετο Schol. Aristoph. Pac. 302. Suidas II, 2, 1563, 16. — 486 ἐνορούϲοι G Vrat. A. Mosc. 3. ἐνορούϲει CL. — 487 ὥϲ A. — 488 δυώδεκ' G. αὐτὰρ H. — 490 ὀδυϲϲεὺϲ DG. ἐξερύϲαϲκε ACDEG. — 491 κατα D. καλῖτρῖχεϲ H. — 492 μὴ δὲ CDGH. — 493 ἀήθεϲϲον AEL Schol. Ε 231. ἀέθεϲϲον D. ἀήθεϲϲον[αν] C. ἀήθεϲϲαν GH Harl. αὐτόν Schol. Ε 231. — 495 τριϲκαιδέκατον AGH. ἀπηῦρα D.

---

A. c. 475 ἐξ Herodianus: alii ἔξ. — 477 οὗτόϲ τοι Aristarchus. — 478 οὓϲ Aristarchus, alii ὅν. — 489 πλήξειε: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ πλήξαϲκε Didymus. — 495 τρειϲκαιδέκατον Schol. A. ἀντὶ τοῦ τρειϲκαιδεκατ (sic) A in margine, conf. H. T. 229.

ἀσθμαίνοντα· κακὸν γὰρ ὄναρ κεφαλῆφιν ἐπέστη
τὴν νύκτ᾽, Οἰνείδαο πάις, διὰ μῆτιν Ἀθήνης.
τόφρα δ᾽ ἄρ᾽ ὁ τλήμων Ὀδυσεὺς λύε μώνυχας ἵππους,
σὺν δ᾽ ἤειρεν ἱμᾶσι καὶ ἐξήλαυνεν ὁμίλου
τόξῳ ἐπιπλήσσων, ἐπεὶ οὐ μάστιγα φαεινὴν
ποικίλου ἐκ δίφροιο νοήσατο χερσὶν ἑλέσθαι·
ῥοίζησεν δ᾽ ἄρα πιφαύσκων Διομήδεϊ δίῳ.
αὐτὰρ ὃ μερμήριζε μένων ὅτι κύντατον ἕρδοι,
ἢ ὅ γε δίφρον ἑλών, ὅθι ποικίλα τεύχε᾽ ἔκειτο,
ῥυμοῦ ἐξερύοι ἢ ἐκφέροι ὑψόσ᾽ ἀείρας,
ἦ ἔτι τῶν πλεόνων Θρηκῶν ἀπὸ θυμὸν ἕλοιτο.
εἶος ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα, τόφρα δ᾽ Ἀθήνη
ἐγγύθεν ἱσταμένη προσέφη Διομήδεα δῖον·
νόστου δὴ μνῆσαι μεγαθύμου Τυδέος υἱὲ
νῆας ἔπι γλαφυράς, μὴ καὶ πεφοβημένος ἔλθῃς,
μή πού τις καὶ Τρῶας ἐγείρῃσιν θεὸς ἄλλος.
ὣς φάθ᾽, ὃ δὲ ξυνέηκε θεᾶς ὄπα φωνησάσης,
καρπαλίμως δ᾽ ἵππων ἐπεβήσετο· κόψε δ᾽ Ὀδυσσεὺς
τόξῳ· τοὶ δ᾽ ἐπέτοντο θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
οὐδ᾽ ἀλαὸς σκοπιὴν εἶχ᾽ ἀργυρότοξος Ἀπόλλων,
ὡς ἴδ᾽ Ἀθηναίην μετὰ Τυδέος υἱὸν ἕπουσαν·

V. l. 496 κεφαλῆφιν ACEG. — 497 οἰνίδαο D. — 498 ἂρ DEG. ἀρ A. ὀδυσσεὺς DH. — 499 συν D. ἤιειρεν A. εἴηρεν L. — 501 ποικίλην G. — 502 ῥοίζησε EG Bekk. Anecd. 771, 17. ῥοίζεσκεν Barocc. πιφάσκων GH Bekk. An. 771, 17. — 503 δ CDGHL. μερμήριξε A. ὅ, τι G. κύντατον ACGHL Barocc. Mor. Townl. Vrat. b. A. Mosc. 3. κύντερον DES. ἔρδοι GL. — 504 τεύχεα κεῖτο L. — 505 ἢ A: ceteri ἤ. ὑφοῦ L. — 506 ἢ ὅγε τῶν C. θρηκῶν ἀνδρῶν D. ἀπο CDL. — 507 *εἶος: libri ἕως. δ ACDGHL. κατα D. τόφρ᾽ ἀθήνη L. — 508 προσεφώνει C. — 510 ἐπι AD. ἐπὶ CEGHL. μή κεν L. ἔλθῃς et ἔλθοις D eadem manu. — 511 μή που τις ACDGHL. τρῷας L. ἐγείρῃσι DE bis GH. — 512 ὡς A. ὃ δὲ C. θεᾶς προφωνησάσης S. — 513 ἐπεβήσετο ACHLS Cant. Harl. Vrat. b. A. Mosc. 3. ἐπεβήσατο DE ter G. κόψε ACDEGHL Cant. Mor. Harl. Vrat. b. — 515 ἀλαὸς σκοπιὴν A: ἀλαοσκοπιὴν CDE ter GL Et. Mg. 57, 10. ἀλαοσκοπιὴν H. vulgo ἀλαοσκοπίην. ἔχεν Mosc. 3.

A. c. 497 ἀθετεῖται Aristonicus. οὔτε ἐν Ζηνοδότῳ (scribendum ἐν τῇ Ζηνοδότου vel παρὰ Ζηνοδότῳ) οὔτε ἐν τῇ Ἀριστοφάνους ἐφέρετο Didymus. — 505 διχῶς ὑψοῦ καὶ ὑψόσε Didymus, conf. 465. — 513 οὕτως ἀρίσταρχος, ἄλλοι δὲ ἐπεβήσατο Didymus. κόψε primus restituit Spitznerus cum libris fere omnibus: vulgo κόπτε, quod in libris meis non inveni. — 515 ἀλαὸς σκοπιὴν Aristarchus: ἀλαὸν σκοπιὴν Zenodotus, conf. H. T. 184.

τῇ κοτέων Τρώων κατεδύcετο πουλὺν ὅμιλον,
ὦρcεν δὲ Θρηκῶν βουληφόρον Ἱπποκόωντα,
Ῥήcου ἀνεψιὸν ἐcθλόν. ὃ δ' ἐξ ὕπνου ἀνορούcαc,
ὡc ἴδε χῶρον ἐρῆμον, ὅθ' ἕcταcαν ὠκέεc ἵπποι,
ἄνδράc τ' ἀcπαίρονταc ἐν ἀργαλέῃcι φονῇcιν,
ᾤμωξέν τ' ἄρ' ἔπειτα φίλον τ' ὀνόμηνεν ἑταῖρον.
Τρώων δὲ κλαγγή τε καὶ ἄcπετοc ὦρτο κυδοιμὸc
θυνόντων ἄμυδιc· θηεῦντο δὲ μέρμερα ἔργα,
ὅcc' ἄνδρεc ῥέξαντεc ἔβαν κοίλαc ἐπὶ νῆαc.
οἳ δ' ὅτε δή ῥ' ἵκανον ὅθι cκοπὸν Ἕκτοροc ἔκταν,
ἔνθ' Ὀδυcεὺc μὲν ἔρυξε διίφιλοc ὠκέαc ἵππουc,
Τυδεΐδηc δὲ χαμᾶζε θορὼν ἔναρα βροτόεντα
ἐν χείρεcc' Ὀδυcῆι τίθει, ἐπεβήcετο δ' ἵππων.
μάcτιξεν δ' ἵππουc, τὼ δ' οὐκ ἀέκοντε πετέcθην
[νῆαc ἔπι γλαφυράc· τῇ γὰρ φίλον ἔπλετο θυμῷ].
Νέcτωρ δὲ πρῶτοc κτύπον ἄιε φώνηcέν τε·
ὦ φίλοι, Ἀργείων ἡγήτορεc ἠδὲ μέδοντεc,
ψεύcομαι, ἦ ἔτυμον ἐρέω; κέλεται δέ με θυμόc.
ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύποc οὔατα βάλλει.
αἲ γὰρ δὴ Ὀδυcεύc τε καὶ ὁ κρατερὸc Διομήδηc
ὧδ' ἄφαρ ἐκ Τρώων ἐλαcαίατο μώνυχαc ἵππουc.
ἀλλ' αἰνῶc δείδοικα κατὰ φρένα, μή τι πάθωcιν
Ἀργείων ὤριcτοι ὑπὸ Τρώων ὀρυμαγδοῦ.

---

V. L. 517 τρῴων L. κατεδύcατο GS. κατεδύccετο L. πολὺν D. — 518 ὦρcε GL. — 519 δ δ' L. ὅδ' C. — 520 ἔρημον Lips. Townl. Mosc. 3. ἔcταcαν A. — 521 ἄνδράc τ' A. ἀcπέρονταc G. ἀργαλέοιcι Cant. φόνηιcι D. — 522 ἂρ DEGL. ἀρ A. ὀνόμηνεν H. ὀνόμινεν D. — 523 τρῴων L. — 526 οἳ δ' D. οἵδ' CGHL. ἵκοντο G Barocc. — 527 ὀδυccεὺc DG. ἔρυκε Vrat. b. διΐ φίλοc ACDGHL. — 528 χαμᾶζε ADE: χαμάζε CGHL. — 529 ὀδυccῆϊ G. ἐν ἄλλῳ ὀδυcῆϊ δίδου A. ὀδυccῆοc ἐτίθει S. ἐπεβήcετο ACGHL Barocc. Lips. Vrat. b. A. Mosc. 3. ἐπεβήcατο D ex corr. — 530 μάcτιζεν L. δ' ἵππουc ACGH: δ' ὀδυcεὺc L Barocc. Mor. Townl. δ' ὀδυccεὺc G. ἐν ἄλλῳ μάcτιξεν δ' ὀδυccεύc A. * ἀέκοντε: libri ἄκοντε. — 531 omitt. AC Townl.: habent DEGHLS. ἐπὶ H. — 534 ἔτυμόν τοΐ ἐρέω A. ἔτυμόν τοι GH Mor. Barocc. — 535 μ' omitt. L. ἀμφι D. — 536 γὰρ ὀδυccεύc τε D. ὀδυccεύc G. — 537 ὧδ': ὡc δ' Et. Mg. 175, 20. Apoll. Lex. 48, 20. τρῴων L. — 538 κατα AD. πάθειεν (οι) L. — 539 οἱ ἄριcτοι libri. ὑπο A. τρῴων L. ὀρυγμαδοῦ C 1. man. GH.

---

A. c. 522 Zenodotus ante 520 collocavit. — 534 παρὰ Ζηνοδότῳ δὲ οὐκ ἦν ὁ cτίχοc Schol. V. — 538 ἀρίcταρχοc δείδοικα μεταφρεcὶ Didymus, conf. δ 825. retinui κατὰ φρένα, ut A 555, I 244, ω 353. — 539 ἀρίcταρχοc ἀργείων ὤριcτοι καὶ ἄνευ τοῦ ῑ Didymus, conf. H. U. 202 sq.

οὔ πω πᾶν εἴρητο ἔποϲ, ὅτ᾽ ἄρ᾽ ἤλυθον αὐτοί.
καί ῥ᾽ οἳ μὲν κατέβηϲαν ἐπὶ χθόνα, τοὶ δὲ χαρέντεϲ
δεξιῇ ἠϲπάζοντο ἔπεϲϲί τε μειλιχίοιϲι.
πρῶτοϲ δ᾽ ἐξερέεινε Γερήνιοϲ ἱππότα Νέϲτωρ·
εἴπ᾽ ἄγε μ᾽ πολύαιν᾽ Ὀδυϲεῦ, μέγα κῦδοϲ Ἀχαιῶν,
ὅππωϲ τοῦϲδ᾽ ἵππουϲ λάβετον· καταδύντεϲ ὅμιλον
Τρώων; ἤ τίϲ ϲφωε πόρεν θεὸϲ ἀντιβολήϲαϲ;
αἰνῶϲ ἀκτίνεϲϲιν ἐοικότεϲ ἠελίοιο.
αἰεὶ μὲν Τρώεϲϲ᾽ ἐπιμίϲγομαι, οὐδέ τί φημι
μιμνάζειν παρὰ νηυϲὶ γέρων περ ἐὼν πολεμιϲτήϲ·
ἀλλ᾽ οὔ πω τοίουϲ ἵππουϲ ἴδον οὐδὲ νόηϲα.
ἀλλά τιν᾽ ὔμμ᾽ ὀίω δόμεναι θεὸν ἀντιάϲαντα·
ἀμφοτέρω γὰρ ϲφῶι φιλεῖ νεφεληγερέτα Ζεὺϲ
κούρη τ᾽ αἰγιόχοιο Διόϲ, γλαυκῶπιϲ Ἀθήνη.
τὸν δ᾽ ἀπαμειβόμενοϲ προϲέφη πολύμητιϲ Ὀδυϲϲεύϲ·
ὦ Νέϲτορ Νηληιάδη, μέγα κῦδοϲ Ἀχαιῶν,
ῥεῖα θεόϲ γ᾽ ἐθέλων καὶ ἀμείνοναϲ, ἠέ περ οἵδε,
ἵππουϲ δωρήϲαιτ᾽, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰϲιν.
ἵπποι δ᾽ οἵδε γεραιὲ νεήλυδεϲ, οὓϲ ἐρεείνειϲ,
Θρηίκιοι· τὸν δέ ϲφιν ἄνακτ᾽ ἀγαθὸϲ Διομήδηϲ
ἔκτανε, πὰρ δ᾽ ἑτάρουϲ δυοκαίδεκα πάνταϲ ἀρίϲτουϲ.

---

V. l. 540 ἄρ ADEGL. — 541 ἐπι D. — 542 δεξιῆϲ S Cant. Vrat. b. A. Mosc. 3. δεξίη τ᾽ et δεξίη Eust. 823, 6. μειλιχίοιϲι ACDGH. — 544 εἶπ᾽ L. εἰπ᾽ A. ὀδυϲϲεῦ DEG. — 545 ὅπωϲ (π superscript) C. τοῦϲδ᾽ A. τοὺϲ D. καταδύντε S Cant. καταδύντ᾽ ἐϲ L. — 546 τρώων L. ἤ τϊ H. τί ϲφῶε C 1. man. D. ϲφῶε GHL. ὑμῖν, i. e. ϲφῶι Eust. 823, 10. ϲφῶε, πόρεν A. πόρε G. — 547 ἐοικόταϲ (εϲ superscript) S. — 548 οὐδέ τι φημὶ ACDEGL. οὐδ᾽ ἔτι φημὶ H. — 549 παρα A. — 550 τοιούϲδ᾽ G. τοιούτουϲ L. * οὐδὲ νόηϲα: libri οὐδ᾽ ἐνόηϲα. — 551 ὔμμ᾽ DG. οἴω D. θεῶν L. — 552 γάρ ϲφωε S. γὰρ ϲφῶε DL. νεφεληγερέτα A. — 556 γε θέλων CDS Cant. Lips. Townl. οἶδε A. — 557 ΔΩΡΗϹЄΤ᾽ Ambros. δωρήϲετ᾽ L. δωρήϲεται Townl. δωρήϲαιτο H. δωρήϲοιτο E. ἐπεὶ ἦ A. ἐπειὴ E: vulgo ἐπειή. πολυφέρτεροί εἰϲι D. πολυφέρτερόϲ ἐϲτιν S. πολὺ φέρτερόϲ ἐϲτιν Cant. — 558 οἶδε AD. οἵγε L. — 559 θρήκιοι S. ἄνακτα L. — 560 παρ CD. παρ᾽ ἑταίρουϲ G. δυοκαίδεκα AGH. δυωκαίδεκα L.

---

A. c. 545 λάβετον: λαβέτην Zenodotus. — 546 οὕτωϲ ϲφωε διὰ τοῦ ε̄ καὶ πόρεν ἰακῶϲ. οὕτωϲ καὶ ἀρίϲταρχοϲ καὶ ἡρωδιανόϲ Schol. A. ὅτι Ζηνόδοτοϲ γράφει ϲφῶϊ Aristonicus. ϲφῶε Ixion, conf. Apoll. de Pron. 114 A. alii ϲφω ἔπορεν. — 518 ἐπιμίϲγομαι: ὁ Ἰξίων ἀναμίϲγομαι Schol. V.

τὸν τρειϲκαιδέκατον ϲκοπὸν εἵλομεν ἐγγύθι νηῶν,
τόν ῥα διοπτῆρα ϲτρατοῦ ἔμμεναι ἡμετέροιο
Ἕκτωρ τε προέηκε καὶ ἄλλοι Τρῶεϲ ἀγαυοί.
ὣϲ εἰπὼν τάφροιο διήλαϲε μώνυχαϲ ἵππουϲ
καγχαλόων· ἅμα δ' ἄλλοι ἴϲαν χαίροντεϲ Ἀχαιοί.
οἳ δ' ὅτε Τυδείδεω κλιϲίην εὔτυκτον ἵκοντο,
ἵππουϲ μὲν κατέδηϲαν ἐυτμήτοιϲιν ἱμᾶϲι
φάτνῃ ἐφ' ἱππείῃ, ὅθι περ Διομήδεοϲ ἵπποι
ἕϲταϲαν ὠκύποδεϲ μελιηδέα πυρὸν ἔδοντεϲ.
νηὶ δ' ἐνὶ πρυμνῇ ἔναρα βροτόεντα Δόλωνοϲ
θῆκ' Ὀδυϲεύϲ, ὄφρ' ἱρὸν ἑτοιμαϲϲαίατ' Ἀθήνῃ.
αὐτοὶ δ' ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάϲϲῃ
ἐϲβάντεϲ κνήμαϲ τε ἰδὲ λόφον ἀμφί τε μηρούϲ.
αὐτὰρ ἐπεί ϲφιν κῦμα θαλάϲϲηϲ ἱδρῶ πολλὸν
νίψεν ἀπὸ χρωτὸϲ καὶ ἀνέψυχθεν φίλον ἦτορ,
ἔϲ ῥ' ἀϲαμίνθουϲ βάντεϲ ἐυξέϲταϲ λούϲαντο.
τὼ δὲ λοεϲϲαμένω καὶ ἀλειψαμένω λίπ' ἐλαίῳ
δείπνῳ ἐφιζανέτην, ἀπὸ δὲ κρητῆροϲ Ἀθήνῃ
πλείου ἀφυϲϲόμενοι λεῖβον μελιηδέα οἶνον.

---

## ΙΛΙΑΔΟϹ Λ.

Ἠὼϲ δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο
ὤρνυθ', ἵν' ἀθανάτοιϲι φόωϲ φέροι ἠδὲ βροτοῖϲι·

---

V. l. 561 τριϲκαιδέκατον AGL. — 562 τὸν ῥὰ CL. — 563 τὲ H. τε omitt. G. τρῷεϲ L. — 565 ἦϲαν C. — 566 οἵδ' CGL. ὅτε δὴ H. τυδείδαο G. ἐύτυκτον C. ἐΰτϋκτον H. — 567 ἱμᾶϲι A Ambr. CEGH. — 569 ἑϲταϲαν AD. ἕϲταϲαν GL. — 570 ἐνι AD. ἐν S. — 571 θῆχ' ὀδυϲεὺϲ C. ὀδυϲϲεὺϲ DG. ἱερὸν G Lips. ἑτοιμαϲαίατ' CD. ἑτοιμαϲαίατο E. — 573 τε ἰδὲ ACDEH Apoll. Lex. 109, 4. τε ἠδὲ G. τ' ἠδὲ Et. Mg. 570, 3. Cram. Epim. 172, 7. τε ἰδ' αὖ λόφουϲ L. τε ἰδ' αὖ λόφον Harl. — 574 ϲφι G. — 575 ἄπο A. ἀνέψυχεν L. ἀνέψυχε Townl. ἀνέψυχθε GH. — 576 εὐξέϲταϲ D. ἐΰξέϲτουϲ S. — 577 τώδε G. — 579 ἀφυϲϲόμενοι A Harl. ceteri ἀφυϲϲάμενοι.

---

A. c. 561 τινὲϲ γράφουϲι τὸν τετρακαιδέκατον ϲκοπὸν εἵλομεν Aristonicus. — 579 οὕτωϲ ἀρίϲταρχοϲ· ἄλλοι δὲ ἀφυϲϲάμενοι Didymus, conf. ad Γ 295.

---

V. l. 2 ὄρνυθ' Townl. φέρῃ EL ex em. Lips. Harl. βροτοῖϲι ACDGH.